1 *οὖν* γ: *δὲ* Q 2 post *προσκαλεσάμενος* add. *ὁ Ἀριστοτέλης* γ | *τέκνα ἐτ. βασιλέων* Q: *ἐτ. υἱοὶ βασιλέων* γ 3 *ἐρωτᾷ* Q: *ἠρώτα* γ 4 *χαρίσῃ* Q: -*ζῃ* γβ 8 *ἢ* addidi **10** *ὦ παῖ* (*παῖς* Q) ε: *χαίροις, Ἀλέξανδρε κοσμοκράτορ* Αβγ | *ἄπιθι – μαθεῖν τι* etiam in γ ad ε 3,7 cf. *τοῦ Ἀλεξάνδρου ἦτον τὸ ζακόνιν του· ἀπὸ τὴν αὐγὴν ἕως τὸ γιόμα ὑπήγαινεν εἰς τὸν Ἀριστοτέλην εἰς μάθησιν, καὶ ἀπὸ τὸ γιόμα καὶ ὀμπρὸς ἕως τὸ δειλινὸν ὑπήγαινεν εἰς τὸν Νεκτεναβὸν εἰς τὸ πονηρὸν καὶ δόκιμον μάθημαν. ἀπ' αὖτον ἔμαθεν τῶν τρεχομένων ζωδίων τοῦ οὐρανοῦ ἐπὶ τὰς ζώνας καὶ καμάρας καὶ τοὺς ζ' πλανήτας, ἀρχή· Κρόνος, Ἀφροδίτης, Ἑρμῆς, {ἥρα} Δίας, Ἥλιος καὶ Σελήνη, καὶ ἔγραψέν τα εἰς σκέδον καὶ ἤφερέν τὸ καθὲν κατὰ τὸν δρόμον του γραμμένο* Mgr **13–14** scribendum *αὐτὸν ... κρατοῦντα*, vel *αὐτοῦ ... καὶ ταῖς χερσὶν κρατῶν φησι*

λήνην, καὶ τὰ τούτοις παρανατέλλοντα· Πλειάδα, Ὠρίωνα, Ἀρκτοῦρον, †στηραῖα†, Ἀνδρομέδαν καὶ Ἄρκτον, καὶ διὰ τὸν Δράκοντα καὶ τὰ λοιπά. καὶ τὸ μὲν σκεῦος χρυσοῦν ἦν, τὰ δὲ ἐγκείμενα διὰ λίθων πολυτίμων· Ἥλιος ἄνθραξ, Σελήνη κρύσταλλος, Ζεὺς ὑάκινθος, Κρόνος σμάραγδος, Ἄρης λυχνίτης, Ἀφροδίτη μαργαρίτης, Ἑρμῆς φεγγίτης καὶ ἁπλῶς εἰπεῖν παντὸς λίθου τιμίου διαφανοῦς, ἃ ἦν ἐν τῷ σκεύει.

(8) Ἰδὼν δὲ Ἀλέξανδρός φησι πρὸς Νεκτεναβὼ τοῦτο· καὶ ἔστω ταῦτα ἐν οὐρανῷ ἀληθῶς, καὶ δι' αὐτοῦ σὺ πάντα ἐπίστασαι καθὼς ἀκήκοα; — λέγει οὖν Νεκτεναβώ· ναί. — λέγει Ἀλέξανδρος· δίδαξόν μοι ταῦτα ἐν οὐρανῷ καθὼς καὶ ἐν τῷ σκεύει μοι ἐδίδαξας. — ὁ δὲ Νεκτεναβὼ ἑτοίμως εἶχεν τοῦ δεῖξαι αὐτῷ. νυκτὸς δὲ καταλαβούσης ἐξέρχονται ἀμφότεροι ἐπί τινος ἀκρωρείας καὶ στήκουσιν ἐν τῷ ἄκρῳ τῆς πέτρας καὶ Νεκτεναβὼ δείκνυσι τῷ Ἀλεξάνδρῳ τὸν ἀστέρα. αὐτὸς δὲ ὡς δῆθεν μὴ σκοπῶν ἀκριβῶς πραγματευσάμενος ἐγγύθεν ἦλθε πρὸς Νεκτεναβὼ καὶ ὡς διελέγοντο ἀκοντίζει τοῦτον εἰς τὴν φάραγγα κάτω. καὶ δὴ μέλλων τελευτᾶν, Ἀλέξανδρος καταλαμβάνει καί φησιν· ὦ καθηγητᾶ, πάντα μὲν ᾔδεις, τοῦτο δέ σε ἐλάνθανεν;— ὁ δὲ μόλις που ἀπεκρίθη αὐτῷ· οὐδὲ τοῦτό με ἐλάνθανεν, ὦ παῖ, ἀλλ' ἀκριβῶς ᾔδειν ὑπὸ τέκνου μου θανατωθῆναι. — καὶ τοῦτο εἰπὼν ἀφῆκε τὴν ψυχήν. ταῦτα ἀκούσας Ἀλέξανδρος μετεμελήθη οὐ μετρίως. ἄρας δὲ αὐτὸν τοῖς ὤμοις ἔρχεται πρὸς

---

2 †στηραῖα†: Σείριον fortasse scribendum | καὶ διὰ τὸν latet fortasse nomen sideris 8 τοῦτο lectio incerta 14 ἐπί τινος ἀκρωρείας ε: ἔξω τῆς πόλεως εἰς ἔρημον (κρημνώδη A) τόπον Aβ 17 φάραγγα ε: βόθυνον β 21 τέκνου corr. e τέκνον Q

Ὀλυμπιάδα. ἡ δὲ θεασαμένη αὐτῷ· τί τοῦτο; ἔφη. ὁ δὲ μετὰ δακρύων φησίν· νέος Αἰνείας Ἀγχίσην βαστάζω. φράσον δή μοι, ὦ μῆτερ, εἰ πατὴρ οὗτος τυγχάνει ἐμός. — ἡ δὲ διηγήσατο αὐτῷ πάντα καὶ ὡς ἐξ ἀρχῆς παρηκολούθησε, δακρύσας οὖν ἐπὶ τούτῳ Ἀλέξανδρος θάπτει αὐτὸν μετὰ τῆς προσηκούσης τιμῆς. καὶ οὐκ ἐγνώσθη ταῦτα Φιλίππῳ.

4

(1) Θαυμάζεται δὲ ἐν πᾶσι, ἔν τε φρονήσει καὶ ἀνδρείᾳ καὶ δεξιᾷ τύχῃ. μεταξὺ δὲ τούτων ἰδού τινες τῶν νεμόντων τοὺς ἵππους Φιλίππου φέρουσιν αὐτῷ ἀγγελίαν τοιάνδε· ὦ δέσποτα, ἵππος γεγένηται ἐν τῇ ἱπποστασίᾳ σου θαυμαστός, τῷ μὲν κάλλει ὑπὲρ τὸν Πήγασον, τῇ δὲ γνώμῃ δρακοντοανήμερος, καὶ πολλοὺς ἐξ ἡμῶν κατέφαγε. μόλις δὲ ἠδυνήθημεν περιγενέσθαι

1–2 ἡ δὲ θεασαμένη – βαστάζω etiam in γ (p. 40 v. Lauenstein) | καὶ θεασαμένη ἡ Ὀλ. εἶπε πρὸς αὐτόν γ | post τοῦτο add. τέκνον γ (secundum β) | ἔφη om. γ | μετὰ δακρύων om. γ
2 φησίν Q: εἶπεν γ | νέος Αἰνείας Ἀγχίσην βασταζω βγ Syr: νεκρὸν ὁ νέος ὄν ἔχεις βασταζω Q **3–6** cf. καὶ ἡ μητέρα τοῦ ὁμολόγησεν τὸ πῶς ἐγίνη ἀπὸ τὴν ἀρχὴν ὅλον καθένα λόγον, καὶ ὁ Ἀλέξανδρος ἤκουσε τοὺς λόγους τῆς Ὀλυμπιάδος καὶ ἔκλαψεν πολλὰ μὲ δάκρυα πικρά, καὶ ὁ Φίλιππος τίποτα οὐδὲν ἤξευρε Mgr. **6** καὶ οὐκ ἐγνώσθη cf. etiam λάθρα Φιλίππου γ (p. 40,13 v. Lauenstein)

E cap. 4 pauca habet rec. γ I 13

9 – p. 13,1 δέσποτα usque ad τὸ δοκοῦν σοι etiam in γ | ὦ δέσποτα Q: δέσποτα βασιλεῦ γ (β) **10** ἵππος Q: οὗτος ὁ ἵππος γ | θαυμαστός Q (Mgr): om. γ | cf. ἐγεννήθην ἕνα πουλάριν εἰς τὴν λακινίαν σου θαυμαστόν Mgr **11** δρακοντοανήμερος Q: δράκων ἀνήμερος γ: δράκοντος ἀνημέρου C

αὐτοῦ. διορισάτω τοίνυν τὸ σὸν κράτος ποιῆσαι αὐτῷ τὸ δοκοῦν σοι. — ὁ δὲ Φίλιππος ἔφη· ἀγάγετε αὐτὸν ὅπως ἴδω. — καὶ ἀπελθόντες ἤγαγον τὸν ἵππον ἁλύσεσι δυσὶ δεδεμένον, φοβερὸν καὶ πλήρη κάλλους διαθέσεων, βοὸς κεφαλὴν ἔχοντα ἐκτετυπωμένην τῷ δεξιῷ μηρῷ καὶ κέρας ἐν τῇ κεφαλῇ. θαυμάσας δὲ ὁ Φίλιππος ἐπὶ τῇ θεωρίᾳ τοῦ ἵππου ἐκέλευσε κάγκελον σιδηροῦν γενέσθαι κἀκεῖ δὲ τὸν ἵππον ἐγκλεισθῆναι, ἵνα τοὺς μέλλοντας θανάτῳ καταδικάζεσθαι δίδοσθαι τῷ ἵππῳ βοράν. οὐ γὰρ ἤσθιεν τί, εἰ μὴ κριθὴν καὶ σάρκας ἀνθρώπων. τούτου δὲ γενομένου οὐδεὶς ἐτόλμα πλησίον αὐτῷ ἐγγίσαι.

(2) *Καὶ δὴ Ἀλέξανδρος ἐλθὼν ἐκ τῆς παιδοτριβῆς καὶ τῷ καγκέλῳ ἐγγίσας εἱστήκει θεωρῶν τὸν ἵππον. ὁ δὲ ἵππος τῇ τύχῃ ὑπετάσσετο καὶ τὴν κεφαλὴν ὑποκλίνας καὶ ἀποβαλὼν τὸ θρασὺ καὶ ἀνήμερον ἠρέμα ἵστατο. ὁ δὲ Ἀλέξανδρος βαλὼν τὴν χεῖρα διὰ τῆς ὀπῆς τοῦ καγκέλου δράσσεται τὸ ὠτίον τοῦ ἵππου καὶ ἕλκει πρὸς αὐτόν, ὁ δὲ ἠκολούθει δίκην βοὸς ἀροτῆρος. ὁ δὲ ἐπιστὰς καὶ χαλινὸν τῷ στόματι αὐτοῦ ἐπιθεὶς ἐπέβη ἐπάνω τοῦ ἵππου.*

---

1 *αὐτοῦ* Q: *αὐτῷ γ* | *τὸ σὸν κράτος* Q: *τὸ κράτος σου γ* **3** *ἁλύσεσι δυσὶ δεδεμένον* etiam in *γ* (p. 36,1 v. Lauenstein) | *ἁλύσεσιν γ*: *ἅλυσι* Q **4–5** *βοὸς – κεφαλῇ* etiam in *γ* **5** *τῷ δεξιῷ μηρῷ* Q*γ*: *ἐν* add. Müller, sed non necessarium **6–7** *κάγκελον σιδηροῦν* e: *σπιτόπουλον, κουβούκλιν σιδερένιο* Mgr **7–8** *τοὺς μέλλοντας* scripsi: *τοῖς μέλλουσι* Q **10** *οὐδὲν ἐτρόμα* (*ἐκότα* V) *κανεὶς νὰ ζυγώσῃ κοντά του* Mgr. **17** *ἐπιστὰς* corr. e *ἐπιβὰς* Q

(3) Ὁ οὖν Φίλιππος ἀδνούμιον ποιήσας καὶ ἐπισκεπτόμενος τὸν στρατὸν ἐκαθέζετο ἐπί τινος μετεώρου τόπου, ἑκάστου τὴν ἱππασίαν κατανοῶν. καὶ ὡς ταῦτα οὕτως εἶχεν, ἰδοὺ Ἀλέξανδρος ἐποχούμενος τῷ Βουκεφάλῳ ἵππῳ· οἱ δὲ θεωροῦντες αὐτὸν ἔφευγον καὶ ἀπεκρύβοντο. καὶ ἦλθεν ἐν μέσῳ τοῦ θεάτρου καὶ λίαν ἐμπειροτάτην ἱππασίαν ἐπιδειξάμενος, ὥστε θαυμάσαι πάντας καὶ Φίλιππον μειδιᾶσαι καὶ τὸ ἔμπειρον ἐπαινέσαι τῆς ἱππασίας· ἦν γὰρ ἐκ ταύτης τῆς ἡμέρας προσδοκῶν Ἀλέξανδρον δεύτερον Ἡρακλέαν, ὥστε δίδωσιν αὐτῷ Φίλιππος ἄνδρας νεωτέρους καὶ ἅρματα καὶ ἵππους. καὶ οὕτως ἀνετρέφετο ἔν τε μαθήμασιν εὐδοκιμῶν καὶ ἐν ἱππασίοις κυνηγίοις εὐτυχῶν.

---

1 *ἀδνούμιον* Q: *ἀγνούμην* γ, qui praebet (I 17 p. 44 v. Lauenstein) *δραμὼν δέ τις τῶν ἱπποφορβῶν ἀπήγγειλε ταῦτα τῷ βασιλεῖ Φιλίππῳ ἔξω ὄντι τῆς πόλεως* (secundum β, *Πέλλης* add. DL) *ἀγνούμην* (*ἀδνοῦμιν* scribendum) *τῷ στρατῷ ποιοῦντι*: *δραμὼν δέ τις εὐθέως ἀπαγγέλλει τῷ Φιλίππῳ τὸ γεγονός* A, similia Arm et Byz: (*ὁ Ἀλέξανδρος*) *ἐκίνησεν ἐκεῖ ὁποῦ ὅλοι οἱ καβαλλαραῖοι οἱ χρυσοπτερνιστηρᾶτοι ἔπαιξαν μὲ τὰ κοντάρια .... ὁ Φίλιππος ἐκάθετον εἰς τὸ παλάτιν τὸ βασιλικὸν καὶ ἤβλεπε τὸ πῶς κρούγουν τὲς κονταριές* Mgr **9** *Ἡρακλέαν* corr. e *Ἱρακλιέαν* Q | verba huc traiecit ε e cap. I 15 *ὁ δὲ Φίλιππος ἀκούσας τὸν χρησμὸν* (*καθορᾶν* add. A) *προσεδόκα νέον Ἡρακλέα* Aβ: *ἐγὼ τέτοιον ὄμορφον καβαλάρην ὡσὰν τὸν Ἀλέξανδρον οὐδὲν εἶδα, μόνον τὸν Ἡράκλειον τὸν βασιλέα ἔμορφον εἰς τὴν καβάλαν του* Mgr **11** *ἐν ἱππασίαις τε καὶ κυνηγίοις* praeferam

5

(1) Ἐν μιᾷ οὖν τῶν ἡμερῶν μετὰ τῶν ἡλικιωτῶν αὐτοῦ συνὼν λόγους ἐκ λόγων προτεινόντων εἰσφέρεται λόγος, ὡς ὅτι ἐν Ῥώμῃ ἁρματηλατοῦσιν οἱ εὐδοκιμώτεροι τῶν βασιλέων παῖδες, καὶ τῷ νικήσαντι ἆθλα δίδοται παρὰ τοῦ Καπετωλλίου Διός, ὁ δὲ ἡττηθεὶς παρὰ τῶν νικησάντων θανατοῦται. ταῦτα ἀκούσας Ἀλέξανδρος ἔρχεται πρὸς τὸν πατέρα αὐτοῦ δρομαῖος καὶ λέγει· δέομαί σου, ὦ δέσποτα, τὸ ἐν ἐμοὶ καταθύμιον πλήρωσον, καὶ τὸ ἁρμόζον παρασχόμενος ἀπόστειλόν με ἐν Ῥώμῃ ἁρματηλατῆσαι. — ὁ δὲ Φίλιππος λέγει· ὦ βία ἀπὸ σοῦ, παῖ, οὔπω γάρ σοι ὄγδοον ἔτος διῆλθε καὶ ἁρματηλατῆσαι βούλει; οὐ συγχωρῶ σε τοῦτο πρᾶξαι, παῖς γὰρ ἡμῶν τυγχάνεις. — ὁ δὲ Ἀλέξανδρός φησιν· εἰ τοῦτό με οὐ συγχωρήσῃς μετ' ὀλίγον ὄψει με τεθανατωμένον.

(2) Ἐπὶ τούτῳ πεισθεὶς ὁ Φίλιππος κατασκευάζει αὐτῷ

E cap. 5 plura praebet γ I 18–20

1 ἡλικιωτῶν Q: συνηλικιωτῶν γ   **2** προτεινόντων Q: προτείναντες γ (DC)   **4** τῷ νικήσαντι Q: τὸν νικήσαντα γ | δίδοται Q: δίδονται γ | παρὰ Q: ὑπὸ R: ἀπὸ DC   **6** τὸν πατέρα αὐτοῦ Q: Φίλιππον γ   **7** post δρομαῖος add. καὶ καταφιλήσας αὐτὸν γ (sicut β) | καὶ λέγει δέομαί σου ὦ δέσποτα Q: εἶπε πάτερ γ: δέομαί σου etiam Aβ   **8** τὸ ἁρμόζον παρασχόμενος om. γ   **8–9** ἀπόστειλόν με scripsi: ἀπόστειλόν μοι Q: ἐπίτρεψόν μοι γ (Aβ)   **9** ἁρματηλατῆσαι Q: ἀπελθεῖν γ   **9–11** ὁ δὲ – βούλει om. γ,qui in locum eorum nonnulla add. e β   **10** ὄγδοον ἔτος cf. πεντεκαιδεκαετὴς γεγονὼς A I 18, et υἱέ μου παμφίλτατε, μηδὲν ὑπηγαίνεις ὅτι ἀκόμη εἶσαι μικρός, παιδὶ ιβʹ χρόνων Mgr   **11** τοῦτο Q: ταῦτα γ | ἡμῶν Q: ἐμοῦ γ   **12** με γ: om. Q   **14** ἐπὶ τοῦτο πεισθεὶς ὁ Φίλ. Q: ὁ δὲ Φίλ. πεισθεὶς γ   **14–p. 16,2** κατασκευάζει – ποσί om. γ

σκεῦος, δοὺς καὶ πώλους ἑπτὰ οἵους ἐν πάσῃ Μακεδονίᾳ εὗρε κούφους τοῖς ποσί, ποιεῖ καὶ στολὴν οἵαν Ἀλέξανδρος διωρίσατο, ἡλίου δὲ ἦν ἀνατέλλοντος ἡ χροιὰ τῆς στολῆς. κατακοσμήσας αὐτὴν χρυσίῳ καὶ λίθοις τιμίοις, λαβὼν δὲ μεθ' ἑαυτοῦ στρατιώτας καὶ ὑπηρεσίαν ἱκανὴν κατῆλθεν ἐν Ῥώμῃ.

(3) *Κατὰ δὲ τύχην καιρὸν οἱ ἁρματηλατοῦντες εἶχον καὶ τὸ Ὀλύμπιον ηὐτρεπίζετο, καὶ τρεῖς μὲν ηὑρίσκοντο, τέταρτος δὲ οὐκ ἦν. καὶ ἀθυμία περὶ τούτου τοῖς πολίταις κατεῖχε. κῆρυξ δὲ ἀνήρχετο κατ' ἔθος ἐπιβοῶν τὸν βουλόμενον ἀγωνίσασθαι, ὡς ἅτε εὐγενῆ καὶ ἀνδρεῖον καὶ φίλον τοῦ Διός. τοῦ δὲ κήρυκος βοῶντος Ἀλέξανδρος ἐπιστὰς ᾔτει ἁρματηλατῆσαι. κυκλωσάντων οὖν αὐτὸν πάντων καὶ θαυμαζόντων τό τε νέον τῆς ἡλικίας καὶ τὸ θρασὺ καὶ αὐστηρὸν τοῦ προσώπου καὶ τὸ εὐγενὲς τοῦ μειδιάματος ἐξεπλήττοντο. καὶ ὡς ταῦτα οὕτως εἶχεν, ἰδοὺ Νικόλαός τις υἱὸς βασιλέως, ἐμπειρότατος ἐν τῷ ἁρματηλατεῖν ἀνὴρ εὐμεγέθης καὶ ἀλκιμώτατος τῷ ⟨Καπετωλ⟩λίῳ ἐπιστὰς ἔφη· τί ἐνταῦθα ἧκες, παῖ; — ὁ δέ φησιν· ἁρματηλατῆσαι βούλομαι. — ὁ δὲ Νικόλαος πτύελον τούτῳ τῇ ὄψει ἐπαφεὶς ὑπεχώρησεν. ἐπὶ τούτῳ θυμομαχήσας ὁ Ἀλέξανδρος ἔφη· ὅτι παῖς τυγχάνω οἴδασι πάντες, φανήσομαί σοι ἐν τῷ ἁρματηλατῆσαι βουλλοῦσθαι μείζων Ἄρεως καὶ Ἡρακλέως καὶ παρ' ἐμοῦ τὸ*

---

2 *ποιεῖ καὶ* Q: *καὶ ποιήσας αὐτὸν* γ | *ὁ Ἀλέξ.* γ **3** *ἡλίου δὲ ἦν ἀνατέλλοντος* Q: *ὥσπερ τις θεάσαιτο ἡλίῳ ἀνατείλαντι τοιοῦτον* (v. Lauenstein) *ἦν* γ (RC) **6–21** *κατὰ δὲ τύχην — βουλλοῦσθαι* om. γ **16** *ἀλκιμώτατος* corr. e *ἀλυκμότατος* Q | *τῷ λίω* Q: correxi **20** *τυχάνω* Q | *σοι φανήσομαι* post *Ἡρακλέως* γ **21** *βούλουσθαι* Q | post *μείζων* add. *γὰρ* γ | *Ἄρεως* γ: *ἀνέος* Q | *παρ' ἐμοῦ* γ: *παρ' ἐμοὶ* Q

ζῆν ἀπολέσεις. — ἐπιβοῶσιν ἐπὶ τούτοις οἱ λαοὶ Ἀλεξάνδρου ἐκ Διὸς ὡς †δωπεριθμηκότες†.

(4) Καὶ δὴ τῶν ὄχλων ἐπισυναχθέντων καὶ τῶν δήμων θρυλουμένων ἄγονται πάντες ἐν τῷ Ὀλυμπίῳ οἱ ἁρματηλατῆσαι βουλόμενοι. καὶ ἰδοὺ Νικόλαος τῇ οὐρανίῳ ἐζωσμένος ἐσθῆτι καὶ ὁ σὺν αὐτῷ Καλλισθένης ⟨τῇ⟩ ἰκασίῳ καὶ αὐτὸς ἐζωσμένος, μετὰ δὲ τούτοις Λαομέδων καὶ Ἀλέξανδρος, καὶ ὁ μὲν Λαομέδων ὀλύμπιος ὁ δὲ Ἀλέξανδρος ἀνατέλλων. καὶ μεγίστου θρύλου γενομένου οἱ τοῦ ὀλυμπίου μέρους φιληταὶ πρὸς Λαομέδοντα ἐπεβόουν· τί τὴν ψυχήν σου ἀπὸ σοῦ ποιῆσαι ἠθέλησας, ὦ Λαομέδον, καὶ σὺν μειρακίῳ ἐξῆλθες μάχεσθαι Νικολάῳ καὶ Καλλισθένει; ποῖαν βοήθειαν ἐκ τούτου τοῦ μειρακίου ἐκδέχει; μὴ κατάνευε ἁρματηλατῆσαι. — ὁ δὲ Λαομέδων ἔφη πρὸς αὐτούς· ὑμεῖς οἱ τοῦ μέρους τοῦ ὀλυμπίου ἄπιτε ἀπ' ἐμοῦ, κἀγὼ παρὰ τοῦδε τοῦ μειρακίου ἐκδέχομαι στεφάνους ἐκ τοῦ Μειλιχίου Διός· ἀπὸ γὰρ τοῦδε τοῦ ἀγῶνος καὶ ἡ τοῦ πατρὸς προμαντεύεταί μοι βασιλεία. ταῦτα δὲ εἰπὼν κρατήσας

1–2 ἐπιβοῶσιν – δωπεριθμηκότες om. γ   2 δωπεριθμηκότες: latet fortasse nota numeri   P. Wirth   3 ἐπισυναχθέντων Q: ἐπισυναχθεισῶν γ   4–5 ἄγονται – βουλόμενοι om. γ   6 Καλλισθένης Q: Καλλιστενούσης Mgr (F): Κίμων Κορίνθιος γ (sicut β) | τῇ addidi | ἰκασίῳ Q: ἠκασίαν γ: ἰκασίᾳ C: πρασίῳ vel πρασίνῳ Müller   8 post ὀλύμπιος add. ἦν γ   9 φυλέται Millet: φιληταὶ Q γ   10 Λαομέδοντα γ: Λαομέδοντι Q   11 ἠθέλησας Q: θελήσειας γ | μάχεσθαι Q: μαχήσασθαι γ   12–13 Νικολάῳ – ἐκδέχει om. γ   14 ἔφη Q: φησίν γ   16 Μειλιχίου Millet: μελχίου Q γ   17 μοι γ: με Q | ταῦτα δὲ Q: καὶ ταῦτα γ

Ἀλέξανδρον τῆς χειρὸς κατεφίλησε καὶ πρὸς τὸν δῆμόν φησιν· Ἀλέξανδρος καὶ ὁ νέος Οἰνόμαος.

(5) Μεταξὺ δὲ τούτων τὸ Ὀλύμπιον ηὐτρεπίζετο, οἱ ἵπποι ἐξεύγνυντο καὶ ἕκαστος τὸ ἴδιον περιεποιεῖτο σκεῦος. Ἀλέξανδρος δὲ ζεύγνυσιν ἐν μὲν τῇ βίγᾳ δύο ἵππους βαδίους, τοὺς δὲ ἀκροτήρας δαγαλλίους, δεξιὸν μὲν τὸν Βουκέφαλον, ἀριστερὸν δὲ τὸν Πήγασον. καὶ εἰστήκεισαν κατὰ τάξιν, ὥστε πάντας λέγειν ἐν τοῖς Ὀλυμπίοις γενηθῆναι τοὺς Ἀλεξάνδρου ἵππους. τῶν δὲ βολίων ἀχθέντων καὶ τοῦ συνήθους ἐπιτελεσθέντος λαχμοῦ, ἔλαχε τὸν οὐράνιον παραβῆναι, μετὰ τοῦτον ἀνατέλλοντα τὸν Ἀλέξανδρον. ἵσταντο οἱ ὁρίζοντες, παρειστήκει ⟨ὁ⟩ μαππάριος, συμπαρῆσαν οἱ βλέποντες, οἱ σπεύδοντες ἐπεβόων, Ζεὺς ἄνωθεν ἑώρα, ἐν δὲ τῷ Καπετωλλίῳ ἀθλοθέτης ἐκάθητο ὁ ἱερεὺς τοῦ Διός. ὁ ὄχλος θεωρεῖν συνεπείγετο οὐχ ὡς τὸ Ὀλύμπιον βλέπειν, ἀλλ' ὡς τὸ ἀποβησόμενον Ἀλεξάνδρῳ· καὶ ἦν ἰδεῖν μυριάνθρωπον ὄχλον ἔχοντα ἕνα ὀφθαλμόν, καὶ αὐτὸν πρὸς Ἀλέξανδρον.

---

1 *Ἀλέξανδρον* scripsi: *Ἀλέξανδρος* Q *γ* | *καὶ πρὸς τὸν δῆμον* om. *γ* | *φησιν* Q: *εἰπών* D: *λέγων* C: om. R 2 *Ἀλέξανδρος* Q: *ἰδὲ γ* | *ὁ νέος* Q: *νέος γ* | *Οἰνόμαος* Q *γ*: Ἰόλαος bene v. Lauenstein, sed praeclarus auriga etiam Oenomaus 3–4 *τὸ Ὀλύμπιον – ἐξεύγνυντο* om. *γ* 4 *ἐξεύγνυντο* corr. e *ἐξεύνοιτο* Q | *τὸ ἴδιον* Q: *τῷ ἰδίῳ γ* | *σκεύος* R: *σκεύει* D: *ἕκαστον* Q 5 *ζεύνυσίν* Q | *βίγᾳ γ*: *βίσσᾳ* Q | *βαδίους* scripsi: *βαλ(λ)ίους γ*: *καλλίους* Q: *βασιλείους* C: *βαλιοὺς* v. Lauenstein 7 *τὸν Πετάσιον* (vel *Πεγάσιον*) *καὶ γ*: om. Q: *Πήγασον* correxi; cave credas *Πετάσιον*, *Πεγάσιον* nomina equorum esse | *κατὰ τάξιν* Q: *κατ' ἀξίαν γ* 8 *τοὺς Ἀλ. ἵππους* Q (C): *τοῖς τοῦ Ἀλ. ἵπποις γ* 9–11 *τῶν δὲ βολίων – ὁρίζοντες* om. *γ* 11 ὁ addidi 12 *ἐπεβόων* QC: *ἐπεβόουν γ* 13–14 *ἐκάθητο γ*: *ἐκάθευδεν* Q 15 *βλέπειν* Q: *βλέπων γ* | *ἀλλ' ὡς* Q: *ἀλλὰ γ* 16 *ἔχοντα ἕνα ὀφθαλμόν* inv. in *γ*

(6) Μεταξὺ δὲ τούτων Ἀλέξανδρος τὴν σημασίαν ποιεῖ καὶ ⟨ὁ⟩ μαππάριος διὰ τῆς χειρὸς τοῖς ὄχλοις ἐμήνυσεν. οἱ δὲ ὄχλοι· ἰδοὺ ἡμεῖς ἐπεβόησαν, καὶ πολλοῖς ἔρις συνέπεσε καὶ κλύδων, σιγὴ δὲ τοῖς πᾶσιν ἐξ ἴσου ἐγένετο. ἀγὼν δὲ ἦν ὁ πλείων τῶν ἀγωνιζομένων. ὁ οὐράνιος δὲ ἄφνω τὸ σύνηθες ποιήσας σημεῖον καὶ ⟨ὁ⟩μαππάριος τῷ ὄχλῳ καταμηνύσας, ἰδοὺ ἡμεῖς ἐπιβοησάντων, αἱ †κάγκελοι† ἄφνω ἀνεῴχθησαν· τὸ θάμβος εἶχε τοὺς πάντας. ὡς γὰρ ἐξήλθοσαν ἅμα Νικόλαος καὶ Καλλισθένης μέσον δὲ τὸν Ἀλέξανδρον εἶχον, ὧδε κἀκεῖσε περισκοποῦντες τὸ ποῦ αὐτὸν θανατώσουσιν. ἤγετο δὲ Ἀλέξανδρος μέσον αὐτῶν καθάπερ χειμαζομένη ναῦς. ὡς δὲ τὸν ἐπὶ σφενδόνα κατέλαβον καμπ⟨τ⟩όν, ἐνδίδωσι τὰς ἡνίας Ἀλέξανδρος καὶ ὁ Βουκέφαλος περικλείει τοὺς ἵππους, καὶ τὸν μὲν Καλλισθένην περιδραμὼν τὸ σφενδόνιον ἀπερρίψατο, Νικολάου δὲ τῷ σκεύει ἐπέβη καὶ τοῦ πέρονος αὐτὸν πατάξαντος τελευτᾷ παραχρῆμα. οἱ δὲ ἵπποι αὐτοῦ διελύθησαν καὶ ἀπέθανον, καὶ μόνος Ἀλέξανδρος τὸν ἀγῶνα διετέλει. – Λαομέδων δὲ ἐκ τῶν ὄπισθεν ἐρχόμενος ἐγκρατὴς γίνεται Καλλισθένῃ καὶ

---

1 τούτων Q: τούτου γ | ποιεῖ καὶ Q: ποιεῖται γ 2 ὁ addidi | διὰ τῆς χειρὸς γ: om. Q 4–6 ἀγὼν – σημεῖον καὶ om. γ 5 σύνηθες correxi: συνήθη Q 6 ὁ addidi | post καταμηνύσας add. καὶ γ 7 αἱ κάγκελοι Q: αἱ κάγκελοι δὲ D: αἱ καγκελίδαι R: αἱ καγκελίδες melius C, sed neque vox ἡ κάγκελος neque ἡ καγκελίς testificatae; fortasse scribendum αἱ κιγκλίδες vel καγκελοθυρίδες 8 τοὺς πάντας Q: τοῖς πᾶσιν γ | ὡς γὰρ Q: om. γ | ἐξήλθοσαν δὲ γ 9 εἶχον Q: ἔχοντες γ 10 θανατώσουσιν QC: -ωσιν γ (RD) | Ἀλέξανδρος γ: om. Q 12 καμπτὸν scripsi: καμπὸν Q: κάμπον γ 14 τὸ σφενδόνιον Q: τὸ σφενδόνη R: τῇ σφενδόνι coniecit D, fortasse recte | δὲ γ: om. Q 15 πέρωνος Q γ (R) 16–p. 20,14 καὶ μόνος ... τὸν χρησμὸν om. γ

ὥρμησε κατὰ Ἀλεξάνδρου. ἐπιβοᾶτο νῦν ὁ δῆμος καταπαῦσαι Λαομέδοντα. Ἀλέξανδρος δὲ ὅμως ἐπὶ τούτοις θρασύνεται καὶ τῷ Λαομέδοντι ἐπεξέρχεται. ὁ δὲ Λαομέδων φρίξας τῶν ἵππων ἐγκρατὴς γίνεται καὶ ἱκετηρίοις αὐτὸν διανεύεται σχήμασιν. ὁ δὲ οὐκ εἴχετο μέχρις ὁ τοῦ Διὸς ἱερεὺς ἀναστὰς δάφνην ἐξέπεμψε καθὼς ἔθος ἦν αὐτοῖς. καὶ μόλις πεισθεὶς Ἀλέξανδρος συγκεχώρηκε Λαομέδοντι. φιλονεικίαι δὲ ἐπὶ τούτοις καὶ βοαὶ καὶ κρότος. νικητὴς δὲ Ἀλέξανδρος ἀναδείκνυται καὶ παρὰ πάντων εὐφημούμενος καὶ ὑπὲρ πάντων θαυμαζόμενος στεφανοῦται παρὰ τοῦ ἱερέως, καὶ χρησμὸν λαμβάνει ἐκ Διός. ὁ δὲ χρησμὸς οὗτος· ἥκω μου τὸν ἀγῶνα τελέσας, Ἀλέξανδρε, στέμματα δὲ ἐμὰ συνέχων ἄνυε, σὺ γένει μητρὸς καὶ πατρὸς τιμωρός, καὶ γεγονὼς ἄνασσε κόσμου.

(7) Λαβὼν δὲ τὸν χρησμὸν ἐξέρχεται Ῥώμης καὶ συνέρχονται δῆμοι καὶ πᾶσα ἡ πόλις σχεδὸν καὶ Λαομέδων ὁ σὺν αὐτῷ ἁρματηλατήσας, καὶ οὐκ ἠβούλετο καταλεῖψαι αὐτόν, νεανίσκος πάνυ χρηστὸς καὶ θεῶν ἄξιος. παλινοστοῦσι δ᾽ ὅμως θαυμάζοντες ἐπὶ τῇ συνέσει καὶ ἀνδρείᾳ Ἀλεξάνδρου, ὕμνον αὐτῷ πλέξαντες τόνδε·

Αὔχει Φίλιππε, τέρπου Μακεδονία,
ὁ μὲν γενέτης ἐντυχὼν Ἀλεξάνδρου,
ἡ δὲ πατρὶς τυχοῦσα καλεῖσθαι τούτου.

---

2 Λαομέδοντα vel -τι Q, lectio incerta 14–15 συνέρχονται Q: συνεξέρχονται μετ᾽ αὐτοῦ γ 15–16 σὺν αὐτῷ ἁρματηλατήσας Q: συναρματηλατήσας αὐτῷ γ 17 πάνυ Q: ἐν πᾶσι D: om. RC | θεῶν Q: θεῷ γ 19 τόνδε Q: τοιόνδε D: τῆνδε R: ἔχοντα οὕτως C 20 αὔχει γ: καύχη Q 21 ἐντυχὼν γ: εὐτυχῶν Q 22 καλεῖσθαι τούτου Q: καλλίστου τούτου γ (v. Lauenstein)

αὐτὸν δ᾿ ὑπαντήσαντες στεφανωμένον,
νικητὴν ἀήττητον, γεοῦχον μέγαν.
ἀνατέλλων γὰρ κατηγλάϊσε Ῥώμην
{ὡς ἀνατέλλων ἤθλησεν ἐν τῷ σταδίῳ}
καὶ πάντας ἠμαύρωσε λοιποὺς ἀστέρας.
δέχοιο δ᾿ αὐτόν, λαμπρὰ Μακεδονία,
καὶ τοῖς ἐχθροῖς ἄμυναν ἐν τούτῳ δίδου·
Ἀλέξανδρος γάρ ἐστιν ὁ κοσμοκράτωρ.

Ταῦτα λέγοντες τὴν πόλιν διήρχοντο, δάφνας ἔχοντες ἐν χερσίν. Ἀλέξανδρος δὲ τὴν ὁδοιπορίαν ἐποιεῖτο πρὸς Μακεδονίαν.

6

(1) Μεταξὺ δὲ τούτων Φίλιππος τὴν Ὀλυμπιάδα ἀποβάλλεται καὶ ἑτέρᾳ γυναικὶ συνοικεῖν βουληθεὶς ἄγεσθαι τοὺς γάμους ἐκέλευσεν. ὡς δὲ οἱ γάμοι ἐτελοῦντο, τῶν κρότων ἐπιτεινόντων Ἀλέξανδρος τοῖς βασιλείοις ἐπεισέρχεται ἐστεφανωμένος, σκῆπτρον νίκης τῇ χειρὶ κατέχων, καὶ τῷ πατρὶ τὴν πρέπουσαν ἀποδίδωσι τιμήν, καὶ παρ᾿ αὐτοῦ ἐκελεύσθη τῇ τραπέζῃ καθεσθῆ-

---

1 στεφανωμ. γ: ἐστεφανωμ.͵Q 2 γεοῦχον μέγαν γ: προῦχον μέγα Q 3 ἀνατέλλων Q: ἀνατείλας ut videtur γ 4 ὡς ... σταδίῳ delevi | ἐν τῷ Q: ἐν γ 6 δέχοιο δ᾿ αὐτὸν (scribens δέχει ὁ δ᾿αὐτὸν) Q: δέχου οὖν αὐτὸν γ 7 τοῖς ἐχθροῖς Q: τοὺς ἐχθρούς γ 9 διήρχοντο Q: περιεῖον γ | δάφνας Q: δάφνην γ | ἐν χερσίν Q: ἐν ταῖς χερσὶν ταῖς τούτων γ

ε 6 = Q, partim K, et partim γ I 20–22

11–13 μεταξὺ – ἐπιτεινόντων om. rec. γ | τούτων corr.: τούτου Q 15 πρέπουσαν Q: προσήκουσαν γ 15–16 ἀποδίδωσι Q: ἀποδίδει R: ἀπεδίδου C: ἀπονέμει D 16 ἐκελεύσθη τῇ τραπέζῃ Q: inv. in γ

ναι. καθεσθεὶς δὲ τὰ νικητήρια στέμματα καὶ τὰ ἐκ τοῦ Καπετωλλίου Διὸς στεφανώματα τῷ πατρὶ κελεύει ἐνεχθῆναι.

(2) Ὁ δὲ Φίλλιππος θεασάμενος σκυθρωπὸς γίνεται καὶ μεταμελεῖται ἐν οἷς ἔπραξεν εἰς Ὀλυμπιάδα. θεασάμενοι δὲ οἱ κεκλημένοι τὸ πρόσωπον Φιλίππου, διέγνωσαν αὐτοῦ τὸ ἐνθύμιον. καὶ δὴ κύλικα φέρουσι τῷ Φιλίππῳ· ὁ δὲ οὐκ ἤθελε πιεῖν. ἀναστὰς δὲ εἷς τῶν συνανακειμένων, ὃς ἦν πατὴρ Εὐρυμήδας τῆς ἄρτι ἀχθείσης Φιλίππῳ εἰς γάμον, ἔφη· πίε, δέσποτα Φίλιππε, καὶ χάρηθι μετὰ Εὐρυμήδας, γεννήσεις γὰρ ἐξ αὐτῆς παίδας ἀμοιχεύτους. — ἐπὶ τούτοις ἐταράχθη Ἀλέξανδρος καὶ τῆς τραπέζης ἐξεπήδησε. ῥοπάλου δὲ ἐπιλαβόμενος ταῖς χερσὶν οὓς μὲν ἐφόνευσεν, οὓς δὲ ἡμιθανεῖς ἐποίησεν, ἄλλους τοῖς

1–2 καθεσθεὶς — ἐνεχθῆναι om. γ **4** post Ὀλυμπιάδα add. γ rec. β secutus ἅμα δὲ καὶ κατετρύχετο κατὰ Ἀλεξάνδρου, et continuit οἱ δὲ συνανακείμενοι αὐτῷ διέγνωσαν ἐκ προσώπου αὐτοῦ τὸ ἑαυτοῦ ἐνθύμιον | a voce θεασάμενοι incipit K **4–6** θεασάμενοι — ἐνθύμιον QK, deinde add. K e prioribus et rec. β ὅτι μετάμελος γίνεται ἐν ᾗ ἔπραξεν εἰς Ὀλυμπιάδα. ὁ δὲ Λυσίας ἀδελφὸς Κλεοπάτρας κύλικα λαβὼν φέρει etc. **7–8** ἀναστὰς — ἔφη om. γ **7** δὲ Q: οὖν K | συνανακειμένων K (γ): ἀνακειμένων Q | Εὐρυμήδας Q: Εὐρυμήδης K **8** ἄρτι K: ἀρτίως Q | Φιλίππῳ Q: -ου K | ἔφη Q: εἶπεν K **8–9** πίε οὖν δέσποτα καὶ χάρηθι μετ' αὐτῆς γ | Φίλιππε om. Kγ **9** Εὐρυμίδας Q: τῆς Κλεοπάτρας K, sicut β **9–11** Εὐρυμήδας — ταῖς χερσὶν om. γ **9** γεννήσεις Q: τέξεις K **11** τῆς τραπέζης Q: τῇ τραπέζῃ K | post ἐξεπήδησε add. K e rec. β καὶ εἶχεν τὸν κύλικα ἐνέτεινε τῷ Λυσίᾳ (= βp. 31,2 Bergson) usque ad καὶ πίπτει σκυλαθεὶς (σκελισθεὶς β) ἀπὸ τῆς κρηπῖδος τοῦ ἀ[κουβίτου Ἀλέξ]ανδρος καὶ τῇ τραπέζῃ etc. sicut ε | ῥοπάλου Q: ῥόπαλον K | ταῖς χερσὶν K: om. Q **12** ἐποίησεν K: ἐποιήσατο Q

τοίχοις προσέκρουσε καὶ ἄλλους τοῦ παλατίου ἐκρήμνιζεν, ὥστε καὶ Φίλιππον θροηθῆναι καὶ φυγὴν μέλλοντα χρήσασθαι περιπτωκέναι καὶ δεινῶς τὸν πόδα πληγῆναι, καὶ τῷ μὲν δέει τοῦ φόβου καὶ τῷ τῆς πληγῆς πόνῳ ἄφωνον κεῖσθαι, ὡσεὶ νεκρόν. καὶ ἦν ἰδεῖν ἄλλον Ὀδυσσέα περὶ τῆς τῶν μνηστήρων ἀπωλείας γενναίως ἀγωνιζόμενον, ἄφνω γὰρ αὐτοῖς ὁ θάνατος ἐπῆλθε καὶ τῷ δέει κατεβαπτίσθησαν, καὶ οἱ μὲν ἔθνησκον, οἱ δὲ ἔμελλον, οἱ δὲ ἔκειντο.

(3) Ἀλεξάνδρῳ δὲ τὰ περὶ τοῦ πατρὸς μηνύεται καὶ παρευθὺς καταλιπὼν τὸν πόλεμον εἰς τὰ βασίλεια ᾤχετο. καὶ καταλαβὼν τὸν πατέρα πεπτωκότα, ταῖς χερσὶ βαστάξας ἀπῄει ἐν τῷ κοιτῶνι καὶ τῇ κλίνῃ ἐπιτίθησι καὶ δῆθεν θεραπεύει τὸν πόνον. ὁ δὲ Φίλιππος {καὶ} τῷ πόνῳ ἐπιέζετο, καὶ τὸν Ἀλέξανδρον βλέπων εἰς γέλωτα καὶ χαρὰν μετετρέπετο, καί· οἷον, ἔφη, παιδίον τοῖς τοσαύτοις καὶ τηλικούτοις κατεκυρίευσεν ἀνδράσι. μικροῦ δὲ θροηθῆναι κἀμὲ πεποίηκε. καὶ ἁπλώσας τὴν χεῖρα κατέσχεν Ἀλέξανδρον, καὶ τῷ τραχήλῳ αὐτοῦ περιπλακεὶς ἡδέως κατησπάζετο.

---

1 προσέκρουσε Q (γ): προέκρουεν K | ἐκρήμνιζεν Q γ: ἐκρέμνιζεν K R 1–14 ὥστε καὶ Φίλιππον – τὸν Ἀλέξανδρον βλέπων om. γ 2 φυγὴν μέλλοντα Q: φυγῇ K 3 καὶ Q: δὲ K | πόδα Q: -αν K 4 τῷ τῆς Q: τῆς K 5 Ὀδυσσέα Q: -αν K 5–6 τῆς ... ἀπωλείας K: τὴν ... ἀπώλειαν Q 7 ἐπῆλθε Q: ἐπεισῆλθεν K | καὶ τῷ Q: τῷ K 9 Ἀλεξάνδρῳ Q: Ἀλέξανδρος K | μηνύεται Q: μυεῖται K 9–10 παρευθὺς K: πορευθεὶς Q 11 βαστάξας Q: -σας K 13 καὶ del. 14 εἰς γέλωτα (γέλως K) καὶ χαρὰν μετετρέπετο Q K: εἰς χαρὰν ἅμα δὲ καὶ εἰς γέλωτα μετετράπη γ 15–16 τοῖς τοσαύτοις καὶ τηλικούτοις κατεκυρίευσεν ἀνδράσιν γK: τοσούτων καὶ τηλικούτων ἀνδρῶν κατεκυρίευσεν Q 16 μικροῦ γK: μικρὸν Q | θροηθῆναι Q γK: θρηνηθῆναι Müller 17 χεῖρα Q γ: -αν K R

(4) Ἀντασπαζόμενος δὲ αὐτὸν Ἀλέξανδρος ἔφη· Ὀλυμπιὰς συναnασσέτω σοι, καὶ Φίλιππος ἀπεκρίνατο· ναί, συναnασσέτω, τέκνον μου, καὶ συνθνησκέτω μοι λόγου δίχα παντός, καὶ σέ μου τῆς βασιλείας διάδοχον καθίστημι. σύγγνωθί μοι δὲ τῷ πατρί σου ἅπερ ἔπραξα εἰς Ὀλυμπιάδα τὴν μητέρα σου.— Ἀλέξανδρος δὲ δρομαῖος ἄπεισι καὶ ἄγει Ὀλυμπιάδα καὶ λέγει Φιλίππῳ· μηδαμῶς μοι ἐπαισχυνθῇς, παῖς γάρ σου τυγχάνω, καὶ εἰ πληροφορῆσαί με θέλεις, κατ' ὄψιν μου κοιμήθητι σὺν τῇ μητρί μου τῇ νυκτὶ ταύτῃ. — ὁ δὲ Φίλιππος οὐ τῇ νυκτὶ ταύτῃ, ἔφη, ἀναμείνωμεν, ἀλλὰ τῇ ὥρᾳ ταύτῃ πληροφορήσω σε, σφόδρα γὰρ λελύπημαι περὶ αὐτῆς · ἂν δὲ αἰῶνα ζήσω, συμβασιλεύσει μοι.

---

1 *αὐτὸν* γK: om. Q | *ἔφη* γK: om. Q, sed add. *ἔλεγεν* post *σοι* 2 *συναnασσέτω* γ: *συναnάσσεται* K: *συνανεσάτω* Q | *ἀπεκρίνατο* γK: *φησί* Q | *ναὶ* Q: *καὶ* γK | *συναnασσέτω* γ: -*σεται* K: -*εσάτω* Q 4 *μου* Kγ: om. Q | *μοι* Q: *μου* γK | *δὲ* γK: om. Q 5 *τὴν μητέρα* Q: *τῇ μητρὶ* γK 5–7 *Ἀλέξανδρος – Φιλίππῳ* om. γ 6–7 *τῷ Φιλίππῳ* K 7 *μοι* γK: om. Q. 9 *οὐ* γK: *ὁ* Q | *ἔφη* γK: om. Q 10 *σε* Q: *σοι* γK 12 *μοι* Q: *με* K 11–12 post *λελύπημαι* add. *περὶ τῶν ὑπ' ἐμοῦ πραχθέντων εἰς αὐτήν, ὅ συγγνώμην αἰτῶ παρ' αὐτῆς* γ deinde pergit verbis recensionis β *καὶ ταῦτα εἰπὼν διήλλαξε τοὺς γονεῖς* etc. usque ad *ὑπηκόους γενέσθαι* (cf. p. 62 v. Lauenstein). K hic praebet subscriptionem *ἔνθα Ἀλέξανδρος πρὸς φιλίαν συνάπτων Φίλιππον καὶ Ὀλυμπιάδα*; et continuit *ὁ δὲ Ἀλέξανδρος περιγενόμενος ἐπὶ τὴν Μεθώνην λόγος συνετοῖς ἔπεισε* etc. (= β I 23 p. 33,8 ssq. Bergson). In rec. γ cap. I 23 narratio de Persarum legatis tamen non invenitur.

7

(1) Τούτων οὕτως ἐχόντων καὶ ἡμερῶν τινων διελθουσῶν Φίλιππος τῆς νόσου περιεγένετο. καὶ δὴ πόλεμον Σκύθαι ὁπλίζουσι κατὰ Μακεδονίας, καὶ Φίλιππος ἀκούσας τὸν στρατὸν ἐπισκέπτεται, καὶ γνοὺς μὴ αὐταρκῶς ἔχειν πρὸς ἀντιπαράταξιν αὐτῶν· πολὺ γὰρ τὸ Σκυθικὸν πλῆθος ἦν, ὡσεὶ χιλιάδες πεντακόσιαι. ἐν ἀμηχανίᾳ οὖν ὑπῆρχεν ὁ Φίλιππος καὶ προσκαλεσάμενος πάντας τοὺς φίλους αὐτοῦ διηπορεῖτο περὶ τοῦ πολέμου, ὡς ἄν τί διαπράξοιτο. καί φησιν Ἀριστοτέλης· ὦ δέσποτα Φίλιππε, δὸς τὸν πόλεμον Ἀλεξάνδρῳ καὶ τῇ τύχῃ διαπράξοιτο. (2) Καὶ παρευθὺς προσκαλεῖται Φίλιππος Ἀλέξανδρον καὶ λέγει· ἰδοὺ καιρὸς ἀγῶνος ὑπὲρ πατρίδος, Ἀλέξανδρε, ἐκληρώθη σου τῇ τύχῃ ὁ πόλεμος. φράσον δή, πῶς ἄν ἔχῃς περὶ αὐτοῦ, προοίμιον γάρ σου τῆς εὐτυχίας ὁ λόγος προβέβληται. σκόπει οὖν τὰ περὶ τοῦ πολέμου. — ὁ δὲ Ἀλέξανδρος ἵστατο, καὶ συνειστήκεισαν πάντες, ἱστάμενος δὲ ἐμειδία καὶ μειδιῶν ἐθρασύνετο, καὶ χαρίεντι τῷ προσώπῳ τῷ πατρὶ ἀντεφθέγξατο· καὶ τί μοι ταῦτα οὐ πρὸ πολλοῦ ἔλεξας, ἀλλ' ἧς ἀθυμῶν καὶ ἀπορούμενος δι' ἀθροισμὸν μυρμήκων πολλῶν; ἐξελεύσο-

---

ε 7 = QK et γ I 23

2 Σκύθαι γ: Σκύνθαι K: Σκύθες Q 3 τὸν στρατὸν Kγ: τῷ στρατῷ Q 4 αὐταρκῶς Q: αὔταρκες R: εὐταρκές K: αὐτάρκη D 5 αὐτῶν Q: τούτων γ: om. K | τὸ σκυθικὸν Q: τῶν σκυθικῶν K: τὸ τῶν Σκυθῶν γ | ὡσεὶ QDC: ὡς KR 6 πεντακοσίαις K: -σιοι Q: τετρακόσιαι C: -σίαις D: υ´R 8 διαπράξοιτο Q: -αιτο D: -εντο K: -εται R: -ηται C 15 πάντες Kγ: ἅπαντες Q | ἱστάμενος Kγ: ἱσταμένου Q | ἐμειδία Kγ: ἐμειδίασε Q 16 χαρίεντι Kγ: χαρίεντα Q | τῷ QRC: om. KD 17 καὶ τί QKD: τί ἔτι RC | ἔλεγξας codd.

μαι δὴ καὶ καταπολεμήσω αὐτούς, καὶ τοὺς δυνατοὺς αὐτῶν θήσω δὲ αὐτοὺς εἰς ἀφανισμόν. οὐ γὰρ ἐν πλήθει αἱ νῖκαι καὶ αἱ ἧτται, ἀλλ' ἐκ τῆς ἄνωθεν δεδώρηνται προνοίας. ἐπὶ τούτοις πάντων οἱ ὀφθαλμοὶ τῷ Ἀλεξάνδρῳ ἠτένιζον καὶ θαυμάζεται παρὰ πάντων, ἵστατο δὲ μέσον αὐτῶν ὡς ἀστὴρ ἐκλάμπων. καὶ Φίλιππος φησίν· ἄπιθι, τέκνον, ὅσα ἡ πρόνοια τίθησιν ἐν τῇ ψυχῇ σου ποίει.

(3) Ἐξῆλθεν δὲ Ἀλέξανδρος καὶ μετ' αὐτοῦ τριάκοντα χιλιάδες ἀνδρῶν νεανίσκων καὶ ὥρμησε τοὺς Σκύθας πολεμῆσαι. καὶ ἡ μὲν Σκυθῶν παράταξις ἀναρίθμητος ἦν, ἡ δὲ τύχη Ἀλεξάνδρου ἀκαταγώνιστος. καὶ δὴ λαμβάνει μεθ' ἑαυτοῦ ὀλίγους τινὰς καὶ καταλαμβάνει τινὰ ἀκρώρειαν. καὶ τὸ φοσσᾶτον ἐπισκοπῶν ἐπιτηδειότατον σκέπτεται τόπον, ὅς δύσβατος ἦν καὶ τοῖς Σκύθαις ἄγνωστος. στραφεὶς δὲ παραλαμβάνει μεθ' ἑαυτοῦ ἅπαν τὸ πλῆθος, καὶ διίστησιν ἀπελθὼν γύρωθεν τοῦ τῶν Σκυθῶν φοσσάτου νυκτὸς μήκοθεν. ἐν δὲ τῷ δυσβάτῳ τόπῳ ἄδειαν ἀφίησιν, καὶ ἐπιλέκτους ἄνδρας ἐν αὐτῷ ὡσεὶ δισχιλίους κρύπτεσθαι προσέταξεν. ἐκέλευσε δὲ τοῖς κύκλωθεν πᾶσιν ἀνὰ τριάκοντα ἢ καὶ πλείους καμίνους ἀνάπτειν. τούτου δὲ γενομένου καὶ τῶν Σκυθῶν θεασαμένων τὸ ἀνείκαστον

---

1 καταπολεμήσω Kγ: πολεμῆσαι Q | post αὐτοὺς καὶ add. καταλήψομαι Q: om. Kγ 2 θήσω DC: θύσω QKR 3 καὶ αἱ ἧτται Q, fortasse corrupta: ἡττοῦντες K: γίνονται γ | δεδώρηνται QDC: -ηται KR 5 ἵστατο Kγ: -ται Q 8 δὲ Kγ: om. Q 8–9 τριάκ. χιλ. Kγ: inv. in Q 9 τοὺς Σκύθας QR: ἐν Σκύθαις KD 10 Σκύθων Q hic et ubique 12 ὀλίγους τινὰς Kγ: ὀλίγους τοὺς τινὰς Q: fortasse scribendum ὀλιγοστούς τινας | τινὰ Müller: τὴν codd. 13 δύσβατος corr.: δύσβατον Q: δυντὸς K: δυνατὸς γ 15 μεθ' ἑαυτοῦ Kγ: om. Q 17 καὶ Q: om. Kγ 18 δισχιλίους Kγ: χιλιάδας δύο Q

τῶν λαμπάδων οὐκ εἶχον τί διαπράξασθαι, φόβος γὰρ καὶ ἔννοια ἀμβλυοῖ φρένας. καὶ δὴ πάντοθεν περισκοπήσαντες ὁρῶσιν ἐν τῷ τόπῳ οὗ Ἀλέξανδρος τὸ ἔνεδρον ἐποίησεν ἄδειαν εἶναι τῶν λαμπάδων. καὶ ἔδοξεν αὐτοῖς διὰ τῆς νυκτὸς φυγῇ χρησαμένοις ἐκεῖθεν διασωθῆναι. παραχρῆμα δὲ καταλιπόντες τὴν πᾶσαν αὐτῶν ἀποσκευὴν ὥρμησαν εἰς φυγήν. Ἀλέξανδρος δὲ θεασάμενος ἀψοφητὶ αὐτοὺς ἐκ τῶν ὄπισθεν ἠκολούθει μετὰ πάντων τῶν στρατευμάτων αὐτοῦ. ὡς δὲ ἐν τῷ τόπῳ ἐγένοντο Σκύθαι καὶ τῷ χωνεύματι εἰσβάντες, σαλπίζει ὄπισθεν αὐτῶν Ἀλέξανδρος καὶ βοῶσι Μακεδόνες. καὶ Σκύθαι ἀλλήλους κατωθοῦσι, καὶ τὸ ἔνεδρον ἐκ τῶν ἔμπροσθεν ὑπεξέρχεται καὶ ἄνωθεν εἰσβάλλουσι, καὶ ἵσταντο Σκύθαι μηδὲν ἄλλο εἰ μὴ τὸν θάνατον ἐκδεχόμενοι. φωνὰς δὲ ἱκετηρίους προσέφερον καὶ ἀλλήλους δεσμεῖν ἐπεχείρουν. ἐπικάμπτεται τούτοις Ἀλέξανδρος καὶ παρευθὺς ἀνέχεσθαι τοῦ πολέμου ἐκέλευσε, πάντας δὲ εἶπεν δεθῆναι καὶ ἄγεσθαι ἐν τῷ φοσσάτῳ αὐτοῦ ὡς ἂν τὰ περὶ αὐτῶν σκέψηται.

---

1 *τῶν* QD: om. K: R et C hic corrupti | *οὐκ εἶχον* KD: *καὶ οὐκ ἐχόντων* Q **2** *ἀμβλυοῖ φρένας* Q: *ἀμβλύον φρέναν* K: om. D **3** post *ἔνεδρον ἐποίησεν* incipit lacuna in D **4** *αὐτοῖς* Q: *αὐτοὺς* Kγ | *φυγῇ* Kγ: *φυγὴν* Q **5** *διασωθῆναι* Q: *διασωθῶσιν* Kγ **6** *ἀποσκευὴν* KC: *παρα-* Q: *κατα-* R **7** *ἀψοφητὶ* R: *ἀψηφητὶ* Q: *ἄψοφει* KC | *αὐτοὺς* Q: *-τοῖς* K: *-τῶν* γ **9** *Σκύθαι* γ: *Σκύνθες* K: *οἱ Σκύθιοι* post *εἰσβάντες* Q **10** *Μακέδονες* Q **10–11** *ἀλλήλους* QR: *-οις* KC **11** *ἐκ τῶν* Kγ: *ἐκ τοῦ* Q **11–12** *ὑπεξέρχεται* Kγ: *ὑπεξέρχετο* Q **13–14** post *προσέφερον* add. inepte *καὶ πάντες ἀδεῶς ἐσφάζοντο ὑπὸ τῶν Μακεδόνων* γ: om. QK **14** *καὶ – ἐπεχείρουν* QK: om. γ | *δεσμεῖν* Q: *δενεῖν καὶ* K | *τούτοις* QC: *-ους* KR **16** *αὐτοῦ καὶ* KR: *καὶ* om. QC

(4) Καὶ δὴ ἀπελθόντες ἐν ᾧ ἀφωρίσθησαν τόπῳ Ἀλέξανδρος τοὺς προύχοντας αὐτῶν παριστάναι ἐκέλευσε. παρίστανται δὲ τρέμοντες καί φησι πρὸς αὐτούς· οἴδατε ὡς ἡ πρόνοια παρέδωκεν ὑμᾶς εἰς χεῖρας Μακεδόνων, καὶ οὐκ ἠδυνήθητε ἀντιστῆναι τὰ ἴχνη τῶν ποδῶν ἡμῶν. ἔστε μοι δοῦλοι ἢ οὔ; — οἱ δὲ μετὰ φόβου εἶπον· δοῦλοί σού ἐσμεν, δέσποτα, καὶ δουλεύσομέν σοι εἰς τὸν αἰῶνα, κἂν ὑμῖν δοκεῖ. — καὶ πεσόντες προσκυνοῦσιν αὐτόν. Ἀλέξανδρος δὲ ὡσανεὶ φιλοφρονούμενος αὐτοὺς ἐκέλευσεν τοῦ δεσμοῦ ἀφεθῆναι καὶ σὺν αὐτῷ εἰς τὴν πόλιν Φιλίππου εἰσελθεῖν, ὡς ἐπινίκιον ἐπιδείξασθαι νῖκος, ἔπειτα δὲ συγχωρηθῆναι καὶ ἀπελθεῖν εἰς τὰ ἴδια. φόρους ἐτησίους ἐκέλευσε τελεῖν τοῖς Μακεδόσιν.

8

(1) Καὶ δὴ τὴν πόλιν καταλαβόντες θόρυβος καὶ βοὴ ἐγένετο καὶ προϋπαντῶσιν Ἀλέξανδρον καὶ τὰ συμβάντα διηγοῦνται.

---

1 ἐν ᾧ ἀφ. Q: ἐν ᾧ ἀφορισθέντες K: ἐν τῷ κελευσθέντι γ 2 παριστάναι Kγ: παραστῆναι Q 2–3 παρίστανται Q: -το Kγ 4 εἰς Kγ: εἰς τὰς Q | καὶ Kγ: καὶ ὡς Q 5 τὰ Kγ: om. Q 6 σού Kγ: om. Q 7 κἂν ὑμῖν δοκεῖ K: καὶ ἡμῖν μὴ δοκεῖ Q: κατὰ τὸ σὸν vel σοι βουλητόν γ 8 προσκ. αὐτόν Q: προσεκύνησαν αὐτῷ Kγ | δὲ Kγ: om. Q 9 αὐτοὺς K et post ἐκέλευσεν Q: αὐτοῖς γ | τοῦ δεσμοῦ KR: τῶν δεσμῶν QC 10 εἰσελθεῖν Kγ: ἀπ- Q | νῖκος omnes: νίκεος tempt. v. Lauenstein, νίκης Müller, νυκτομαχίας praeferam 12 ἐκέλ. τελεῖν Q: inv. in C: τελεῖν ἔοικεν ἐκέλευσεν K: om. R | τοῖς Μακεδόσιν Q: (πρὸς C) τοὺς Μακεδόνας KC: om. R

ε 8 = γ I 24; etiam in K et in Mgr

13 καταλαβόντες Kγ: -των Q 14 προϋπαντῶσιν Kγ: προσυπαντοῦ Q | Ἀλέξανδρον Kγ: -δρῳ Q

τὰ δὲ συμβάντα τάδε ἦν· ὡς Ἀνάξαρχος ὁ Θεσσαλονικέων τύραννός ποτε παριὼν ἐξενίζετο παρὰ Φιλίππου, καὶ ξενισθεὶς θεωρεῖ Ὀλυμπιάδα, καὶ ἔκτοτε φιλικῶς εἶχε πρὸς αὐτήν. μαθὼν δὲ τὴν τῶν Σκυθῶν κατὰ Μακεδόνων ἔφοδον ὡσεὶ δώδεκα χιλιάδας ἀνδρῶν μεθ' ἑαυτοῦ λαβὼν φθάνει Μακεδονίαν, τοιόνδε τρόπον ἔχων ἐν ἑαυτῷ· χάριν συμμαχίας ἐλθεῖν καὶ εἰ μὲν δυνηθῇ ἁρπάξαι Ὀλυμπιάδα, εἰ δὲ μὴ δυνηθῇ ὡς σύμμαχος πάλιν ἀντιστραφήσεται λογισθείς. ἡ δὲ τύχη εὐάλωτον δίδωσιν Ὀλυμπιάδα. μαθὼν γὰρ ὁ Φίλιππος τὴν Ἀλεξάνδρου πρὸς Σκύθας νίκην καὶ ὅτι ἐγκρατὴς αὐτῶν γίνεται, λαβὼν Ὀλυμπιάδα ἐξέρχεται εἰς ἀπάντησιν Ἀλεξάνδρου. καταλιπὼν δὲ αὐτὴν ἔν τινι προαστείῳ, ἐκεῖνος μεθ' οὗ ἐπεφέρετο στρατοῦ ἐξῆλθε τοῦ μετεωρισθῆναι. Ἀνάξαρχος δὲ ταῦτα μαθὼν ἐπεισέρχεται καὶ ἁρπάζει Ὀλυμπιάδα καὶ ἀνθυποστρέφει. Φίλιππος δὲ μαθὼν καταδιώκει αὐτὸν μεθ' οὗ ἐπεφέρετο ὀλιγοστοῦ στρατοῦ.

(2) Ταῦτα μαθὼν Ἀλέξανδρος μετὰ σπουδῆς ἐκτείνει τὴν φάλαγγα καὶ καταδιώκει Ἀνάξαρχον λαβὼν μεθ' ἑαυτοῦ ὡσεὶ

---

1 τὰ δὲ ... ἦν QR: om. KC | τάδε ἦν Q: εἰσὶ τοιάδε R | ὡς Q: ὥς τις γ: ὅτι ὁ K | Ἀνάξαρχος QR Mgr: ὁ Παυσανίας ὁ ἔξαρχος K: Ἀνάξαρχος ὁ καὶ Παυσανίας C : nomen Pausaniae e rec. β | ὁ Kγ: ὁ τῶν Q 2 παριὼν Kγ: πανοινῶν Q | ἐξενίζετο K C: ξενίζεται Q: ἐξεγένετο R | καὶ ξενισθεὶς Kγ: om. Q 3 πρὸς Kγ: περὶ Q 6 ἔχων ἐν ἑαυτῷ Kγ: ἑαυτῷ ἔχων Q 7 ἁρπάξαι Kγ: ἁρπάξει Q 8 λογισθεὶς ἡ corr. e λογισθείσῃ Q: λογισθείη ἡ K: λογισθῇ καὶ ἀντ. ἡ γ 9 δίδωσιν Kγ: αὐτῷ δίδ. Q | γὰρ Kγ: δὲ Q 11 εἰς QC: πρὸς KR | Ἀλεξάνδρου KR: αὐτοῦ QC 12 ἐκεῖνος Kγ: om. Q | ἐπεφέρετο Q γ: ἐπορεύετο K 14 ἁρπάζει R: -σαι K: -σας C: λαμβάνει Q 15 ὀλιγοστοῦ corr. e ὀλιγουστοῦ QK: ὀλίγου του R: ὀλίγου C 17 verbis ταῦτα μαθὼν Ἀλ. denuo incipit D

ὀκτακισχιλίους ἱππεῖς, καὶ μετὰ σπουδῆς κατέλαβε. προκαταλαμβάνει δὲ τοῦτον Φίλιππος καὶ πόλεμον συνάψας καὶ λαβὼν πληγὴν κατὰ τοῦ στέρνου ἐπεπτώκει τοῦ ἵππου. εὑρὼν δὲ αὐτὸν Ἀλέξανδρος ἐρριμένον καὶ ἰδὼν ἔτι ἐμπνέοντα, ἐάσας αὐτὸν ᾤχετο ἐπὶ τὸν πόλεμον καὶ περικυκλώσας αὐτοὺς ἄρχεται κόπτειν ἀφειδῶς. τῶν δὲ μετὰ Ἀναξάρχου εἰς φυγὴν τραπέντων, καταλιμπάνουσιν Ὀλυμπιάδα· ὁ δὲ Ἀλέξανδρος ἕνα τῶν Ἀναξάρχου κρατήσας ἔφη· ὑπόδειξόν μοι Ἀνάξαρχον καὶ τὸ ζῆν σοι μὰ τὴν πρόνοιαν χαρίσομαι. — ὁ δὲ δείκνυσιν αὐτὸν εἰπών· βλέψον ἐν μέσῳ τῆς φάλαγγος, καὶ ὃν ἂν ἴδῃς λευκὴν ἔχοντα στολὴν καὶ περικεφαλαίαν χρυσὴν καὶ ποικίλῳ ἵππῳ ἐποχούμενον, αὐτός ἐστιν Ἀνάξαρχος.

(3) Σημειωσάμενος οὖν Ἀλέξανδρος εἶδεν αὐτὸν καὶ παραλαμβάνει μεθ' ἑαυτοῦ τετρακοσίους ἱππεῖς εἰς μέσον τῆς φάλαγγος ὥρμησε. πάντες δὲ †τόπον τῷ θανάτῳ ἐδίδοσαν† καὶ καταλιμπάνουσιν Ἀνάξαρχον μόνον. ἐγκρατὴς δὲ τούτου γενόμενος Ἀλέξανδρος οὐδεμίαν ἄλλην εἶχε φροντίδα ἀλλ' αὐτὸν μόνον λαβὼν πρὸς τὸν πατέρα ἐπάνεισιν. ὁ δὲ Φίλιππος ἐν ταῖς

---

1 ἱππεῖς Q: ἱππέους Κγ | καὶ Κ: om. Q(γ) 1–2 προκαταλ. δὲ τοῦτον Φίλιππος Κγ: προκαταφθάσας Φίλιππον Q | καὶ Κγ: ὡς Q 3 ἐπεπτώκει QKR: ἐκπεπτώκει DC 4 καὶ ἰδὼν Κγ: ἰδὼν Q | ἐάσας αὐτὸν Κγ: μὴ μελλήσας Q 6 τῶν QK: οἱ γ | τραπέντων Q: τρέπονται (-τα Κ) καὶ Κγ καταλιμπάνουσιν conieci: καταλαμβάνουσιν omnes 7 ὁ δὲ Ἀλέξανδρος Κγ: Ἀλεξ. δὲ Q 9 αὐτὸν Κγ: αὐτῷ Q 12 ἐστιν Κγ: om. Q 13–14 παραλαμβάνει Q: παραλαβὼν DC: λαβὼν KR 14 post ἑαυτοῦ add. ὡσεὶ Q: om. Κγ | ἱππεῖς Q: ἱππέους R D: ἱππέας C: ἵππους Κ 15 τόπον Q: τόπῳ KR: τῷ (αὐτῷ add. D) τόπῳ DC | ‚debitur πάντας ἐδίδοσαν vel πάντες ἐδόθησαν' v. Lauenstein: ἔλεγαν τὸν τόπον ἐκεῖνον μεστοποτάμιν Mgr (F) 15–16 καταλιμπάνουσιν Κ: καταλιμπάνει RD: καταλαμβάνουσιν Q: καταλαμβάνει C

ἐσχάταις ἀναπνοαῖς ἦν. φησὶ πρὸς αὐτὸν Ἀλέξανδρος· ὁ πατὴρ ὁ ἐμός, ἀνάστηθι καὶ ἀμύνου τὸν ἐχθρόν σου ἐν τῇ χειρί σου.— καὶ τίθεται κατενώπιον αὐτοῦ Ἀνάξαρχος δεδεμένος.

(4) Ὁ δὲ Φίλιππος ἔτι ἐμπνέων πήξας ταῖς χερσὶν ἀνίσταται καὶ λαβόμενος τοῦ ξίφους σφάζει Ἀνάξαρχον. ἐκ δὲ τοῦ αἵματος αὐτοῦ λαβὼν ἐπιρραντίζει Ἀλέξανδρον καὶ ἐπὶ τῷ ὄχλῳ Μακεδόνων εἶπεν· οὕτω γενέσθω πᾶσι τοῖς ἀνθεστηκόσιν Ἀλεξάνδρῳ καὶ Μακεδόσιν. Ὀλυμπιὰς δὲ παρειστήκει πενθοῦσα, ἐμβλέψας δὲ πρὸς αὐτὴν μόλις καί που λέγει· ὡς καὶ σὺ θαυμαστὴ τοιοῦτον τέξασα παῖδα. — ἐπὶ Ἀλεξάνδρῳ δὲ τὸ ὄμμα ἐκτείνας καὶ αὐτοῦ τῷ τραχήλῳ ἐφαψάμενος τῇ κεφαλῇ αὐτοῦ ἐπικλίνας ἐξέπνευσε.

(5) Πενθοῦσιν τε ἐπ᾽ αὐτῷ Μακεδόνες καὶ ἄγουσιν ἐν τῇ πόλει ἐπὶ χρυσέου κραββάτου καὶ θάπτουσιν αὐτὸν καθὼς αὐτοῖς ἔθος ἦν.

9

(1) Οἱ οὖν Σκύθαι μετὰ τὸ παύσασθαι τὸν καιρὸν τοῦ θρή-

---

1 ἦν QR: ὢν KDC | φησὶ Kγ: καί φησι Q 4 ταῖς χερσὶν Kγ: τὰς χεῖρας Q | ἀνίσταται Kγ: ἵσταται Q 6 τῷ ὄχλῳ Kγ: τὸν ὄχλον Q 7 εἶπεν KR: εἰπὼν QD: λέγων C | οὕτω Q: οὕτως Kγ 7–8 Ἀλεξάνδρῳ καὶ Μακεδόσιν γ: Ἀλέξανδρον καὶ Μακεδόνες Q: Ἀλεξάνδρῳ Μακεδόνας K 9 καί που Kγ: που Q 11 τῇ κεφαλῇ Kγ: τὴν κεφαλὴν Q | αὐτοῦ QK: αὐτῷ γ 13 τε ἐπ᾽ αὐτῷ D: τε ἐπ᾽ αὐτὸν K: om. R: αὐτῷ Q: alia per se C 13–14 τῇ πόλει Q: πόλει K: τῇ πόλει αὐτοῦ γ 14 χρυσέου Kγ: χρυσῆς Q: χρυσίου C | αὐτὸν Kγ: αὐτῷ Q 14–15 αὐτοῖς QD: om. KRC

ε 9 = Q et γ I 24–25, verba usque ad p. 32,8 θεὸν αὐτὸν ἀναγορεύουσιν etiam in K.

νους προσῆλθον Ἀλεξάνδρῳ *αἰτοῦντες τὸ δοκοῦν αὐτῷ. ὁ δὲ ἀπέστειλεν αὐτοὺς εἰς τὰ ἴδια εἰπών· ἀπελθόντες ἄνδρας μοι δοκίμους εἰς συμμαχίαν εὐτρεπίσατε ὡσεὶ χιλιάδας τριάκοντα, πάντας τοξότας. ὁπόταν δὲ πρὸς ὑμᾶς ἀποστείλω, τούτους ἐκπέμψατε πρὸς μέ. εἰ δὲ καὶ τοῦτο μὴ βούλεσθε, ἔσονται κἂν ἡμῖν εἰς συμμαχίαν ὁπόταν ἐλεύσομαι τὴν γῆν ὑμῶν ἐκδαφίσαι. — ἐπὶ τούτοις Σκύθαι προσκυνοῦσιν* Ἀλέξανδρον *καὶ θεὸν αὐτὸν ἀναγορεύουσιν, οἴκαδε ἀναχωρήσαντες συνταξάμενοι δὲ αὐτὸν δουλικῶς διακεῖσθαι καὶ μέχρι πέμπτης γενεᾶς.*

(2) Μετὰ *δὲ τὴν τελευτὴν Φιλίππου* Ἀλέξανδρος Μακεδονίας *βασιλεὺς ἀνηγορεύθη.*

(3) Παραχρῆμα *δὲ προστάσσει ἐπισυναχθῆναι πάντας τοὺς ἐν οἱᾳδήποτε τεχνουργίᾳ ἀσχολουμένους, ἔν τε σιδήρῳ καὶ χαλκῷ καὶ ξύλοις. καὶ τοῖς μὲν χαλκεῦσι προστάσσει θώρακας καὶ περικεφαλαίας καὶ ξίφη ποικίλα ἔν τε δόρασι καὶ ἱστοῖς καὶ μαχαίρας ποιεῖν, τοῖς δὲ ξυλουργοῖς ἀσπίδας καὶ τόξα καὶ δοράτων ἄστας, καὶ ἀπέστειλεν εἰπών· τῶν προσταχθέντων ὑμῖν ὅς ἂν ἀμελήσειεν θανάτῳ παραδοθήσεται.*

---

2 *μοι* Kγ: om. Q 3 *συμμαχίαν* Kγ: *μάχην* Q 4—5 *μοι ἐκπέμψατε* Kγ: *ἐκπέμψετε πρὸς μέ* Q 5 *κἂν* Kγ: *καὶ* Q 8 post *ἀναγορεύουσιν* K redit ad rec. *β* | *ἀναχωρήσαντες γ*: *ὑπο-* Q | *δὲ* Q: om. *γ* 9 *καὶ μέχρι* Q: inv. in *γ* 10—11 *Μακεδονίας βασιλεὺς ἀνηγορεύθη* Q: *Μακεδόνων ἀναγορεύεται βασιλεὺς γ* 12 *προστάσσει γ*: *τάσσει* Q 13 *ἀσχολουμένους* Q: *ἐγκεχειρισμένους γ* 15 *περικεφαλαίας γ*: *-ους* Q | *ἱστοῖς* Q: *οἰστοῖς* v. Lauenstein 16—17 *δοράτων ἄστας γ*: *δόρατα καὶ ἀστὰς* Q 17—18 *καὶ ἀπέστειλεν — παραδοθήσεται* om. *γ*

10

(1) Τούτων οὕτως ἐχόντων ἀπὸ ἀνατολῶν Δαρεῖος ὁ Περσῶν βασιλεὺς ἀγγέλους πρὸς Μακεδονίαν ἐξέπεμψε περὶ τῶν ἐτησίως διδομένων φόρων, ὥστε αὐτοὺς ἀναλαβέσθαι καὶ πρὸς αὐτὸν τὸ τάχος ἀνθυποστρέψαι. ὡς δὲ τὴν βασιλεύουσαν Φιλίππου πόλιν κατέλαβον, ὡς ἔθος ἦν αἰτοῦνται τὸν βασιλέα ὑπεξέρχεσθαι καὶ δουλικῶς τοῖς Περσικοῖς γράμμασι προσκυνεῖν ὡς αὐτὸν τὸν βασιλέα Περσῶν καὶ μετὰ τῆς προσηκούσης τιμῆς τοὺς ἀγγέλους ὑποδέχεσθαι· Ἀλέξανδρος οὐκ ἐποίει. ἀποστέλλει δὲ πρὸς αὐτοὺς Ἀντίοχον τὸν ἐπὶ πάντων αὐτοῦ, καὶ αὐτὸν νεανίσκον ὡσεὶ χρόνων δεκατριῶν, καὶ μετ' αὐτοῦ τινας τῶν μεγιστάνων, τοὺς πάντας χρυσέοις περιβεβλημένους θώραξιν, καὶ τὸ δόρυ Ἀλεξάνδρου Ἀντίοχος ἐπεφέρετο. ὡς δὲ τὴν πύλην ἐπῄεσαν τῆς πόλεως ἀπέστειλε πρὸς αὐτοὺς Ἀντίοχος ἄγγελον λέγων· τοῦτο ὑμῖν τὸ σημεῖον ἔστω τοῖς ὑπὸ Δαρείου ἀποσταλεῖσιν, ὡσὰν πρὸς ἡμᾶς καταλάβητε, πεσόντες προσκυνήσατε τὸ Ἀλεξάνδρου δόρυ. εἰ δὲ καὶ τοῦτο ὑμῖν οὐ δόξει, θα-

---

ε 10, 1–4 etiam in γ I 26

1 Περσῶν γ: om. Q 3–4 ὥστε – ἀνθυποστρέψαι γ: om. Q 4 βασιλεύουσαν Q: om. γ 5 αἰτοῦνται scripsi: αὐτῷ Q: αὐτὸν γ (RC, om. D) 6–7 ὡς αὐτὸν scripsi: ὡσαύτως Q: ὡς – Περσῶν om. γ 8 τοὺς ἀγγέλους ὑποδέχεσθαι Q: τοῖς ἀγγέλοις ἀποδεχθῆναι γ | Ἀλεξ. Q: τοῦτο Ἀλέξ. γ | ἐποίει Q: -ησεν γ 8–9 ἀποστέλλει δὲ Q: ἀλλ' ἀπέστειλεν γ 9 Ἀντίοχον τὸν ἐπὶ πάντων αὐτοῦ Q: τινα τοὔνομα Ἀντίοχον παραπλήσιον δὲ αὐτοῦ τυγχάνοντα γ 11 χρυσέοις ... θώραξιν γ: χρυσέους ... θώρακας Q 12 Ἀντίοχος ἐπεφέρετο Q: ἐν ταῖς χερσὶν Ἀντιόχου ἐπιφερόμενον γ 12–13 πύλην ... τῆς πόλεως Q: πόλιν γ 13 ἐπῄεσαν Müller: ἐξῄεσαν Qγ 14 λέγων QR: λέγοντα DC deinde add. αὐτοῖς γ 14–15 τοῖς ὑπὸ Δ. ἀποσταλεῖσιν Q: οἱ ἀπὸ Δ. ἀποσταλέντες γ 16 δὲ καὶ Q: δὲ γ | post δόξει add. ποιεῖν παραυτίκα γ 16–p. 34,1 θανάτῳ γ: -τον Q

νάτῳ ὑμᾶς ἀπολεῖ. — ταῦτα ἀκούσαντες οἱ τοῦ Δαρείου τὰ ἀσυνήθη καὶ ἀπροσδόκητα ῥήματα καὶ ἐν ἐκπλήξει πολλῇ γενόμενοι κἂν μὴ θέλοντες τὰ προσταττόμενα ἐποίουν. καὶ προσελθόντες προσκυνοῦσι τὸ δόρυ Ἀλεξάνδρου καὶ ἀσπάζονται τοὺς πόδας Ἀντιόχου. καὶ ἐξ ἀναλόγου ταῦτα ἐγίνοντο. ἃ γὰρ οἱ ὑπὸ Δαρείου ἀποσταλέντες ἐποίησαν, τοῦτο μάλιστα παρὰ τοῦ βασιλέως ἤλπιζον ἀπολαβεῖν τὸ σέβας, ὡς κύριον πάσης γῆς εἶναι Δαρεῖον τῶν Περσῶν βασιλέα.

(2) *Ἀλέξανδρος δὲ ἐπί τινος τόπου μετεώρου καθήμενος, παρειστήκεισαν αὐτῷ παῖδες Μακεδόνων χρυσόζωνοι καὶ συρικοφόροι. αὐτὸς Ἀλέξανδρος τὴν ἀνατέλλοντος ἐσθῆτα ἦν ἠμφιεσμένος, καὶ στέφανος ἐπὶ τῇ κεφαλῇ αὐτοῦ ἐκ χρυσοῦ καὶ λίθου καὶ μαργαρίτου νικητικὸν ἄνωθεν ἔχων σημεῖον οἷος ⟨ὁ⟩ Ζεύς. καὶ οὐκ ἦν αὐτὸν ἀπεικάζων ἐν οὐδενὶ εἰ μὴ τῷ Διΐ, τοὺς δὲ περὶ αὐτὸν ἀστέρας, καὶ δίκην ἀστέρων ἦσαν ἐκλάμποντες. ἀπὸ δὲ τῆς πύλης τῆς πόλεως μέχρις Ἀλεξάνδρου ἵστατο πλῆθος πολύ, καὶ πάντες ἔνοπλοι ἔνθεν καὶ ἔνθεν ἦχοί τε καὶ κρότοι καὶ σαλπίγγων φωναὶ καὶ εὐφημία καὶ συνδρομὴ καὶ πλῆθος.*

---

1 *ὑμᾶς* γ: *ὑμῖν* Q   2 *πολλῇ* Q: om. γ   3 *κἂν* γ: *καὶ* Q | *προσταττόμενα* Q: *προσταχθέντα* γ   4 *προσκυνοῦσι* Q: *προσεκύνησαν* γ | *ἀσπάζονται* γ: *-ζειν* Q   5–6 *ἃ γὰρ οἱ ἀπὸ Δ. σταλέντες* γ: *οὐ γὰρ ὑπὸ Δ. ἀποσταλέντες* Q   6 *μάλιστα* γ: *ἀλλὰ καὶ μάλιστα* Q   7 *ἀπολαβεῖν* Q: *λαβεῖν* RC: *γενέσθαι* D   7–8 *τὸ σέβας — βασιλέα* om. γ   9 *τόπου* γ: om. Q   10 *παρειστηκ.* γ: *παρεστηκ.* Q   11 *αὐτὸς* Q: *αὐτὸς δὲ* γ | *ἀνατέλλοντος* Q: *ἀνατέλλων* γ | *ἐσθῆτα* γ: om. Q   12 *στέφανος* Q: *-νον* γ | *τῇ κεφαλῇ* Q: *τὴν κεφαλὴν* γ   13 *λίθου* QC: *λίθων* γ | *μαργαρίτου* Q: *μαργάρων* γ: *μαργάρου* C | *οἷος* (scripsit *υἱὸς*) Q: *οἷος ἦν ὁ* γ   14 *ἀπεικάζων* Q: *συνεικάσαι* γ | *ἐν* del. v. Lauenstein | *τοὺς* Q: *οἱ* γ   15 *ἀστέρας καὶ* Q: om. γ   16–17 *ἵστατο πλῆθος πολὺ καὶ* Q: *ἵσταντο πλήθη πολλὰ* γ   18 *εὐφημία* Q: *-αι* γ | *καὶ πλῆθος* Q: *πληθῶν* γ

ὡς δὲ τὴν πύλην ἔμελλον εἰσιέναι οἱ περὶ Κανδαύλην καὶ Ἀρζέμβαρ κελεύει Ἀντίοχος σὺν αὐτῷ γαιηβάτως ἄγεσθαι πρὸς Ἀλέξανδρον. αὐτοὶ δὲ τὰ προστασσόμενα ἐποίουν καὶ φόβος αὐτοῖς εἶχε καὶ ἔκπληξις· τὰ γὰρ παρ' ἐλπίδα ἐρχόμενα φοβερὰ τοῖς ἀπείροις ἐμφαίνονται. ὡς δὲ τὴν πόλιν διήρχοντο οὐδὲν εἶχον πρῶτον θεωρεῖν, πάντα γὰρ αὐτοῖς ἐθαυμάζοντο. ἐπεὶ δὲ καὶ πρὸς Ἀλέξανδρον κατέλαβον καὶ ἐπ' αὐτῷ τοὺς ὀφθαλμοὺς ἀποστείλαντες, ἔδοξαν θεόν τινα θεωρῆσαι. πεσόντες δὲ προσκυνοῦσιν Ἀλέξανδρον καὶ δὴ ἀναστάντες οὐκ ἤθελον ἐξ αὐτοῦ ἀνταίρειν τοὺς ὀφθαλμούς, καὶ εἰ ἤθελον οὐκ ἠδύνοντο. πρὸς γὰρ τὴν γῆν βιαζόμενοι βλέψαι, οἱ ὀφθαλμοὶ ἀντανακλώμενοι πρὸς Ἀλέξανδρον αὐτοὺς ἀτενίζειν κατηνάγκαζον. οὐ γὰρ ἦν αὐτοῖς κόρος τῆς θέας. τρισσῶς δὲ προσκυνήσαντες τὴν ἐπιστολὴν Δαρείου τῷ Ἀλεξάνδρῳ ὑπέδειξαν. Ἀντίοχος δὲ ταύτην λαβὼν ἀναγινώσκει τῷ Ἀλεξάνδρῳ.

(3) Τὰ δὲ τῇ ἐπιστολῇ ἐμφερόμενα τάδε ἦν·

Ἐπειδὴ τὸ τῆς μοναρχίας κράτος μόνῳ Δαρείῳ τῷ θεῷ δίδοται – καὶ τίς θεὸς πλὴν Δαρείου ὅς ἐγκρατὴς τῆς ὑπουρανὸν ἐκ τῆς περὶ αὐτοῦ ἀπείρου δυνάμεως ἐγένετο; – ἄρχει

---

1 πύλην Q: πόλιν γ 1–2 περὶ Κανδαύλην καὶ Ἀρζέμβαρ Q: παρὰ τοῦ Δαρείου γ 2 αὐτῷ Q: αὐτοῖς γ | γαιηβάτως Q: εἰσβατῶς γ 3 καὶ φόβος Q: μέγας οὖν φόβος γ 5 ἐμφαίνονται Q: ἐφαίνοντο γ 7 κατέλαβον γ: ἐλθόντες Q 8 ἀποστείλαντες Q: ἐμβλέψαντες γ | θεωρῆσαι γ: -ήσαντες Q 9 προσκυνοῦσιν Q: προσεκύνησαν γ 10 αὐτοῦ γ: -ὸν Q | τοὺς ὀφθαλμοὺς Q: τοῖς ὀφθαλμοῖς γ | ἠδύνοντο Q: -ναντο γ 11 τὴν γῆν βιαζόμενοι βλέψαι γ: τὸ βιαζόμενον βλέποντες Q 12 αὐτοὺς ἀτενίζειν Q: inv. in γ 13 τῆς θέας Q: τῇ θέᾳ γ 15 ἀναγινώσκει τῷ Ἀλεξάνδρῳ Q: ἄνεισι τῷ ἀσπίχι R: ἄνεισι τῷ τῇ σπίχι DC 16 τῇ QC: ἐν τῇ γ 17 ἐπειδὴ γ: ἐπεὶ Q 17–18 δίδοται Q: δέδοται γ 18 ἄρχει (ν) DC (R): ἀρχὴ Q

δὲ βασιλεῖς καὶ τοπάρχας. ἐπὶ τούτῳ οὖν γινωσκέτω τὸ ἡμέτερον κράτος μὴ λανθάνειν Μακεδόνας· *εἰ δὲ καὶ τέως ἔλαθεν, διὰ τῶν παρόντων τανῦν ἀποστελλομένων παρ᾽ ἡμῶν οὐρανίων ἀνθρώπων πάντα τὰ περὶ ἡμῶν διδαχθήσεσθε, καὶ τὸ παρὰ τῆς θείας ἡμῶν προνοίας ἄρχειν* Μακεδό*νων ἐγχειρισθεὶς δουλικῶς τὸ σέβας τῷ κράτει ἡμῶν ἀπονέμοιτο, τοῖς παρ᾽ ἡμῶν ἀποσταλεῖσι τοὺς ἐτησίους φόρους παρασχεῖν, συγχωρηθῆναι παρὰ τῆς θειότητος ἡμῶν ἐν τῷ τέως ἄρχειν.*

ἐπεγράφη· ΔΟΥΛΟΙΣ ΘΕΟΥ ΔΑΡΕΙΟΥ ΤΗΣ ΓΗΣ ΠΑΣΗΣ ΚΥΡΙΟΥ.

(4) *Ὡς δὲ ταῦτα ἀνέγνω Ἀλέξανδρος διαρρήξας τὴν ἐπιστολὴν ἐπ᾽ ὄψεσι τῶν ἀπεσταλμένων τῷ ἐδάφει προσέρριψεν εἰπών· Ἄπιτε, εἴπατε Δαρείῳ τῷ ὑμετέρῳ θεῷ τὰ πρὸς πόλεμον εὐτρεπίζειν, εἰ μὴ τάχιον δώροις εἰς τὰ ἀγνοίᾳ γραφέντα μοι ἐκμειλίξεται. γινωσκέτω δὲ ταῦτα Δαρεῖος· Ἀλεξάνδρου*

---

1 *βασιλεῖς* γ: *βασιλείας* Q: *βασιλέων καὶ τοπαρχῶν* Müller | *οὖν* Q: om. γ **3** *τανῦν* Q: *νῦν* γ | *ἀποστελλομένων* Q: *ἀποσταλέντων* γ **4** *τὰ* γ: om. Q | *διδαχθήσεσθε* Q: *ἀναθειχθήσεσθε* R: *ἀναδειχθήσονται* DC **5** *ἄρχειν* γ: *ἀρχὴ* Q | **6** *ἐγχειρισθεὶς* γ: *-σθῆ* Q | *ἀπονέμοιτο* Q: *-νείματε* γ **8** *παρασχεῖν* γ: *παράσχη* Q: *παράσχητε* coni. D | *συγχωρηθῆναι* γ: *συγχωρηθείη* Q: *διὰ τὸ συγχωρηθῆναι* v. Lauenstein | *θειότητος* QD: *θεότητος* RC **9** *ἄρχειν* γ: *ἀρχὴ* Q **10** *ἐπεγράφη* — *Κυρίου* Q: om. γ | *ἐπεγράφη* correxi e *ἐπιγράφειν* Q **12** *ἀνέγνω* *Ἀλέξανδρος* Q: *ἀνεγνώσθη* *Ἀλεξάνδρῳ* γ **12—13** *διαρρήξας τὴν ἐπιστολὴν* Q: *καὶ τὴν ἐπιστολὴν τῇ χειρὶ λαβὼν διαρρήξας ταύτην* γ **13** *τῷ* Q: *καὶ τῷ* γ | *προσέρριψεν* Q: *ἀπορρίψας* γ **14** *εἰπὼν* Q: *εἶπεν* γ | *ἄπιτε* — *θεῷ* om. γ qui hic inseruit quaestiones e rec. β (I 23) **15** *εὐτρεπίζειν* Q: *εὐτρεπίσθητι* γ | *ἀγνοίᾳ* Q γ: *ἀνοίᾳ* fortasse scrib. **16** *ἐκμειλίξεται* Q: *-ξηται* γ

βασιλεύοντος Μακεδόνες *φόρους οὐ τελοῦσιν. ἄπιτε καὶ τὸ συμφέρον ὑμῖν μετὰ* Δαρείου *τοῦ θεοῦ ὑμῶν πραγματεύσασθε. — οἱ δὲ πεσόντες προσκυνοῦσιν* Ἀλέξανδρον *καὶ ἐξελθόντες ἀπῄεσαν τὴν ὁδοιπορίαν πρὸς* Δαρεῖον *ποιούμενοι.*

(5) Καταλαβόντες *δὲ τὴν* Περσίδα *ἔρχονται πρὸς* Δαρεῖον *καὶ στάντες ἔμπροσθεν αὐτοῦ ἀναγγέλλουσι πάντα καί·* Ὦ *δέσποτα, εἶπον,· ὅτι ἐξέπληξεν ἡμᾶς παῖς* Μακεδονικός. *καὶ τάδε τὰ λεχθέντα ἡμῖν παρ' αὐτοῦ, λοιπὸν ὃ βούλει ποίει. — ταῦτα ἀκούσας ὁ* Δαρεῖος *προσκαλεσάμενος ἑτέρους ἀγγέλους ἀποστέλλει πρὸς* Ἀλέξανδρον, *δοὺς αὐτοῖς φραγγέλιον ἐκ ξύλου καὶ σχοινίου καὶ στρομβίδιον καὶ αὐτὸ ἐκ ξύλου, καὶ σκευροὺς δύο εἰπών·* Τάδε *εἴπατε ἀπελθόντες* Ἀλεξάνδρῳ· *λαβὼν τόδε τὸ φραγγέλιον καὶ στρομβίδιον παῖζε μετὰ τῶν σῶν* Μακεδόνων *παίδων, ἐν δὲ τοῖς δυσὶ σκευρίοις τοὺς ἐτησίους εἰσβαλὼν φόρους ταχέως ἀπόστειλον συγγνώμην αἰτούμενος τῶν πρώην σου ἀγνοημάτων. ἐπίσταμαι γὰρ παιδίον εἶναι* Φιλίππου.

(6) Δεξάμενος *οὖν* Ἀλέξανδρος *τό τε φραγγέλιον καὶ στρουμ-*

---

1 *Ἀλεξάνδρου βασιλεύοντος* Q: *ὡς Ἀλέξανδρος βασιλεύει καὶ γ* **3** *προσκυνοῦσιν* Q: *προσεκύνησαν γ* **4** *ἀπῄεσαν* om. *γ* | *ποιούμενοι* Q: *ἐποιήσαντο γ*

ε 10,5–6 solo in codice Q **6** *ἀναγγελοῦσι* Q **7** *εἰπὼν* Q

9 cf. *ὁ Δαρεῖος .... ἔστειλεν τοῦ Ἀλεξάνδρου γουργουρίτζα ξύλινη καὶ βίτζα νὰ τὴν κρούη νὰ γυρίζη, παιδιακὸν παιγνίδιν, καὶ σεντούκια εὔκαιρα δύο καὶ σιναπόσπορον δυὸ σακκία γεμάτα* Mgr. et *ὑπήντησαν δὲ αὐτῷ πρέσβεις Δαρείου ἐπιστολὰς κομίζοντες καὶ σκῦτον* (*σκῦτος* A) *καὶ σφαῖραν καὶ κιβώτιον χρυσίου* (*κιβωτόν* A) A *β* Arm Byz I 36 **15** *τὰ σεντούκια .. νὰ τὰ γεμίσης τριῶν χρόνων λιξᾶτον* Mgr **16** verba *τὸ δὲ κιβώτιον ...ὅπερ ἐστάλθη σοι, εἴσβαλον ἐν αὐτῷ τοὺς ἐτησίους φόρους καὶ ταχέως μοι ἀπόστειλον, συγγνώμην αἰτούμενος τῶν πρώην σου ἀγνοημάτων* habet *γ* in I 36 p. 126, 17–20 v. Lauenstein

βίδιον τοὺς μὲν ἀγγέλους ἐμαστίγωσεν εἰπών· Διὰ τί τοὺς σκεμβροὺς πρὸς μὲ ἀγαγεῖν ἐτολμήσατε; πλὴν τάδε εἴπατε Δαρείῳ· ἀπὸ θεῶν ἀπέχεις, τανῦν δὲ καὶ τῆς βασιλείας σου αὐτοπροαιρέτως ἐστέρησαι. ἄκων γὰρ καὶ μὴ βουλόμενος κύριόν με πάσης γῆς μεμάντευσαι ἀποστείλας {καὶ} τὸ σφαιροειδὲς στρομβίδιον· ὁ γὰρ κόσμος σφαιροειδῶς σχηματίζεται. τὸ δὲ φραγγέλιον καὶ τοῦτο μάστιξ ἐστὶν οὐχὶ ἄλλων τινῶν εἰ μὴ δεσπότου πρὸς οἰκέτας. ἐπεὶ δὲ τοὺς σκεμβροὺς κενοὺς ἀποστεῖλαι ἐτόλμησας τὴν πρὸς ταῦτα ἄμυναν ἐκδέχου· τάχιστα γὰρ ἐλεύσομαι διερευνῶν σε καὶ πεῖραν Μακεδονικὴν ἐπάξω ἐπὶ σέ, ἵνα μάθῃς Ἀλεξάνδρῳ μὴ ἀντιλέγειν. ἂν δὲ θεὸς ᾖς ἐγώγε οὐκ οἶδα. ταχέως δὲ ὑμεῖς ἄπιτε πρὸς τὸν θεὸν ὑμῶν. — ταῦτα διαγορεύσαντος οἱ δὲ πρὸς Δαρεῖον ᾤχοντο.

11

(1) *Ἀλέξανδρος κήρυκας ἐκπέμπει ἐπὶ πᾶσαν Μακεδονίαν τοῖς βουλομένοις συνεισελθεῖν αὐτῷ ἐν τῷ πολέμῳ. τούτου δὲ γενομένου ὥς ἔκ τινος θείας προνοίας πάντες ἐξῄεσαν ἀπὸ νεανίσκου καὶ μέχρι πρεσβυτέρου, οἱ πάντες ἔφιπποι ἐνωπλισμένοι. ἐπισκεψάμενος οὖν αὐτοὺς Ἀλέξανδρος εὗρεν ἄνδρας χιλιάδας τετρακοσίας. ἐκλογὴν δὲ ποιησάμενος ἐξ αὐτῶν εὗρεν ἄνδρας χιλιάδας διακοσίας, τοὺς δὲ λοιποὺς ἔταξε Μακεδονίαν φυλάττειν καταστήσας ἐπ' αὐτοὺς ἄρχοντας καὶ Ἀρι-*

---

5 *καὶ* delevi **9** *ἄμυναν* Q: *ἀμοιβὴν* fortasse scrib.

ε 11,1 solo in Q (et Mgr) **19** *πεντακόσιες χιλιάδες ἁρματωμένους καὶ ἄφηκε τρακόσιες χιλιάδες νὰ φυλάγουν τὴν Μακεδονίαν καὶ διακόσιες χιλιάδες ἐπῆρε μὲ τὸν ἐμαυτόν του* Mgr

στοτέλην τὸν καθηγητὴν αὐτοῦ ἐκπροσωποῦντα αὐτῷ ἐν Μακεδονίᾳ σὺν Ὀλυμπιάδα τῇ μητρὶ αὐτοῦ.

(2) Ἀποστέλλει δὲ καὶ πρὸς Σκύθας ἄγγελον λέγων ὅς ἂν βούλοιτο, ἐλευσάτω αὐτῷ εἰς συμμαχίαν. ἀποστέλλει δὲ αὐτῷ Σκύθης ἱππεῖς τοξότας χιλιάδας ἑβδομήκοντα πάντας νεανίσκους ἐκλεκτούς. καὶ ἐγένετο πᾶσα ἡ δύναμις Ἀλεξάνδρου χιλιάδες διακοσίαις ἑβδομήκοντα.

(3) Προσκαλεσάμενος δὲ ἐκ τῶν ἀρχόντων Φιλίππου οἵτινες ἐν τοῖς πολέμοις πολλάκις μετ᾽ αὐτοῦ λέγει αὐτοῖς· Ἔλθατε καὶ ὑμεῖς μετ᾽ ἐμοῦ. — οἱ δὲ βαρέως ἤνεγκαν τὸ ῥῆμα καὶ εἶπον αὐτῷ· Ὦ δέσποτα, ἡμεῖς πλείστους κόπους μετὰ τοῦ πατρός σου ὑπεμείναμεν, τανῦν δὲ ἔασον ἡμᾶς ἀνέ⟨σε⟩ως τυχεῖν. οὐ γὰρ ἔχεις ἡμῶν χρείαν. — ἐπὶ τούτοις Ἀλέξανδρος ἀπεκρίθη· Οὐχ ὑμῶν χρεία ἐν πολέμῳ — μὴ γένοιτο — ἀλλ᾽ ἐν καιρῷ εὐκαιρίας {λέγει}. ὁρῶν τὰ Φιλίππου καὶ ὑμῶν ἀριστεύματα καὶ οὐ μικράν μοι περιποιεῖσθε παρηγορίαν. τὰ γὰρ παρ᾽ ὑμῶν λεγόμενα ἐγείρουσι τὰς τῶν νεωτέρων καρδίας. — ἐπὶ τούτοις οὐκέτι ἀντεῖπον ἀλλ᾽ ἤ· Τὸ δοκοῦν σοι γενέσθαι ἔφησαν, πᾶν γὰρ τὸ παρὰ σοῦ λεγόμενον ἐκ προνοίας λέλεκται. καὶ χρεὼν ἡμῖν ὑπείκειν τοῖς σοῖς προστάγμασιν.

(4) Ἀπάρας οὖν Ἀλέξανδρος ὥρμησε κατὰ Θεσσαλονίκης.

---

2 Ὀλυμπιάδα corr. nolui

ε 11,2 etiam in γ I 26 3 λέγων — αὐτῷ Q: ὡς ἂν εἰ βούλοιντο, ἐλεύσονται πρὸς αὐτὸν γ 4–5 ἀποστέλλει — ἱππεῖς Q: στέλλουσι πρὸς αὐτὸν Σκύθαι ἄνδρας ἱππεῖς γ 6–7 χιλιάδες διακοσίαις ἑβδομήκοντα Q: χιλ. ρμζ´ γ

ε 11,3 om. γ 12 ἀνέσεως scripsi: ἀνέως Q (lectio incerta) 15 λέγει delevi

ε 11,4–6 etiam in γ I 26 21 ἀπάρας οὖν Ἀλ. Q: ἐπάρας αὐτοὺς γ

ὁ δὲ τηνικαῦτα τύραννος Πολυκράτης πρὸ τοῦ πλησιάσαι Ἀλέξανδρον τοῖς ὅροις Θεσσαλονίκης ἀποστέλλει πρὸς αὐτὸν πρέσβεις εἰρήνην αἰτούμενος καὶ συνεκπέμπει χρυσίον τε καὶ ἀργύριον καὶ τὸν ἴδιον παῖδα, γράψας ἐπιστολὴν τοιάνδε·

Τῷ δεσπότῃ τῆς οἰκουμένης Ἀλεξάνδρῳ τῷ θειοτάτῳ καὶ ἐν θεοῖς, Πολυκράτης ὁ ἀνάξιος ἱκέτης χαίρειν. Ἐπειδήπερ τῇ προνοίᾳ ἀδύνατον οὐδὲν πάντας τῇ τύχῃ ὑποτάσσεσθαι χρεών, διὸ δὴ καὶ σὲ τὸν θειότατον ἡμῶν βασιλέα ἀκριβῶς εἰδότες ἐκ θεία· προνοίας γεγονότα, καὶ ὡς τὰ δοκοῦντά σοι πάντα εὐκαίρως ἡ τύχη πεποίηκε. δουλικῶς εἰ καὶ μὴ θέλουσιν οἱ τὴν ὑπ‹ο›υρανὸν ἅπαντες οἰκοῦντες τῷ κράτει σου τὸ σέβας ἀπονεμέτωσαν. ὅθεν κἀγὼ ἀκριβῶς ἐπιστάμενος τὰ σὰ εὐτυχῆ πλεονεκτήματα τὴν πρὸς σέ μου δούλωσιν διὰ τοῦδε τοῦ εὐτελοῦς γραμματίου ἀνήγαγον. ἐν ἀκριβείᾳ δὲ βουλόμενος πιστῶσαι τῷ κράτει σου, πέπομφά σοι καὶ ὅν μοι ἡ τύχη μονογενῆ παῖδα ἐχαρίσατο σὺν οἰκτροτάτοις δώροις. δέχοιο τήνδε μου τὴν ἱκετήριον δέησιν, καθ'

1 Πολυκράτης Q: om. γ: Ἀρχιδονούσης ὁ βασιλεὺς τῆς Σαλονίκης et filius eius Πολυκρατούσης in Mgr 2 ὅροις Q: ὁρίοις γ 4 ἴδιον παῖδα Q: παῖδα αὐτοῦ γ 5–6 καὶ ἐν θεοῖς Q: om. γ 6 Πολυκράτης Q: Πολύκρατος γ 7 ἀδύνατον Q: ἀδυνατεῖ γ | πάντας Q: -τα γ 8 χρεὼν Q: χρέος γ | διὸ δὴ Q: δὲ δὴ γ 9 καὶ ὡς Müller: ὡς καὶ Qγ 10 εὐκαιρῶς Q: εὐχερῶς γ fortasse recte 11 εἰ καὶ Q: κἂν γ | οἰκοῦντες Q: κατοικοῦντες C: om. RD 13 ἐπιστάμενος Q: ἐπίσταμαι γ qui post πλεονεκτήματα add. καὶ 14 δούλωσιν Q γ: δούλευσιν Berger de Xivrey | τοῦδε γ: σέ μου Q | γραμματίου μου γ: γραμμάτου Q 15 βουλόμενος πιστῶσαι Q: inv. γ 17 δέχοιο Q: δέξαι γ | τήνδε Q: δὲ γ | ἱκετήριον Q: -ρίαν γ | post δέησιν add. τελείως γ 17–p. 41,1 καθ' ἃ Q: καθὼς γ

ἃ ἐστιν ἀρεστὸν ἐν τοῖς ὀφθαλμοῖς σου. ἔρρωσον ὁ ἡμέτερος κύριος καὶ τὰ δοκοῦντά σοι δῆλα ἡμῖν τοῖς δούλοις σου ποίησον.

(5) Δεξάμενος οὖν Ἀλέξανδρος τὴν ἐπιστολὴν καὶ ἀναγνοὺς ἐπικάμπτεται τῇ δεήσει Πολυκράτους, δεξάμενος καὶ τὰ παρ' αὐτοῦ ἐκπεμφθέντα δῶρα καὶ τοὺς ἀπεσταλμένους φιλοφρονησάμενος ἀπέστειλε πρὸς Πολυκράτην, γράψας αὐτῷ ἐπιστολὴν τοιάνδε·

Ἐπειδήπερ ἐκ θείας προνοίας δέδοται ἡμῖν ἡ ἀρχὴ καὶ ὅτι τῇ τύχῃ ὑποτάσσεσθαι χρή, ταῦτα ἐν ἀληθείᾳ ἔλεξας. οὐ γὰρ ἐγὼ πέπεισμαι γίνεσθαί τι τῆς ἄνωθεν δίχα προνοίας. ἐπὶ τούτῳ τὸ δοκοῦν ἡμῖν ἐξιλέωσας καὶ τὴν ὑπ' Ἀναξάρχου τοῦ πατρός σου ἐξαναφθεῖσαν ὀργὴν κατέσβεσας οὐ τοῖς ἀποσταλεῖσιν ἡμῖν δώροις, ἀλλὰ τῇ παρακλήσει τοῦ γράμματος καὶ τῇ τοῦ υἱοῦ ἀποστολῇ. καὶ ἔστω Χαρμίδης ὁ παῖς σου σὺν ἡμῖν τὴν σὴν ἀναμιμνήσκων με εὐγνωμοσύνην. ἔρρωσον.

(6) Μετὰ δὲ τὸ ὑποταγῆναι αὐτῷ Θεσσαλονίκην τὴν πορείαν ἐπὶ τοὺς ἄνωθεν ἐποιεῖτο Σκύθας. καὶ δὴ τριῶν ἡμερῶν διελθουσῶν πρέσβεις ἥκασιν ἐκ Σκυθίας φάσκοντες δουλικῶς

---

1 τοῖς Q: om. γ 5–6 δεξάμενος καὶ τὰ – δῶρα Q: om. γ 6 τοὺς Q: τοὺς μὲν γ 7 Πολυκράτην QC: Πολύκρατον γ 10 ἔλεξας DC: ἔλεγξας QR | οὐ QR: καὶ DC 11 τι τῆς ἄνωθεν δίχα Q: τῇ διδαχῇ τῆς ἄνω γ 13 ἐξαναφθεῖσαν Q: ἐξαφθεῖσαν γ 15 καὶ γ: om. Q | ἔστω RC: ἔσται QD 16 σου γ: om. Q | με Q: μου R: μοι C: lacuna in D 19 ἐπὶ τοὺς ἄνωθεν ἐποιεῖτο Σκύθας Q: ἐποιεῖτο ἐπὶ τοῖς ἄνω Σκύθαις γ (ἐποίει post Σκύθαις R) | δὴ Q: διὰ RD: om. C 20 Σκυθίας γ: Σκύθες Q

ὑποκεῖσθαι αὐτῷ, εἰ συγχωρήσει ἂν τοῦ μὴ ἐπιβῆναι αὐτοῖς τηνικαῦτα Ἀλέξανδρον. ὁ δέ φησι πρὸς αὐτούς· Ἄπιτε ἐν τῇ γῇ ὑμῶν καὶ ἀποστείλατέ μοι ἄνδρας τοξότας χιλιάδας ὅσας βούλεσθε. καὶ ἰδοὺ ἐγὼ πρὸς Λακεδαιμονίους ἀπερχόμενος πολεμήσω. ἐλεύσονται δέ μοι δι' ἡμερῶν ἑξήκοντα· τῆς δὲ προθεσμίας παρελθούσης καὶ μήπω οἱ προσδοκώμενοι ἥξουσι πρὸς ἡμᾶς, ἐφ' ὑμᾶς ἐπεκτείνω τὴν φάλαγγα καὶ οὐ μεταστραφήσομαι. – οἱ δὲ Σκύθαι συνετάξαντο πάντα τὰ προσταχθέντα δουλικῶς ποιεῖν. ἀπέστειλεν αὐτοὺς φιλοφρονησάμενος πορευθῆναι εἰς τὰ ἴδια.

12

(1) *Τούτου δὲ γενομένου Ἀλέξανδρος κατὰ Λακεδαιμονίων ὥρμησεν. ἀκουστὸν δὲ ἐγένετο πάσῃ τῇ Ἑλλάδι καὶ φόβος αὐτοῖς καὶ τρόμος ἐπέπεσεν καὶ διηποροῦντο τί ἂν διαπράξοιντο. καὶ δὴ καταλαμβάνουσι πάντες οἱ τῶν πόλεων ἔξαρχοι ἐν Ἀθή-*

---

1 *ὑποκεῖσθαι* Q: *δια-* γ | *εἰ συγχωρήσει ἂν* Q: *καὶ* (*δεόμενοι* add. Müller) *συγχωρεῖν* γ 2 *τηνικαῦτα Ἀλέξανδρον ὁ δὲ* Q: *ὁ δὲ Ἀλέξανδρος* γ 3 post *τοξότας* add. *ἐμπείρους εἰς συμμαχίαν* γ: om. Q **4–5** *ἀπερχ. πολεμήσω* Q: *ἀπέρχομαι* γ 5 post *μοι* add. *ἡ ὑμετέρα συμμαχία* γ: om. Q | *δι'* γ: om. Q 6 post *προθεσμίας* add. *ἤδη* Q: om. γ 7 *πρὸς ἡμᾶς ἐφ' ὑμᾶς* R: *ἐφ' ἡμᾶς* DC: *πρὸς ὑμᾶς* Q 9 post *ποιεῖν* add. *καὶ* γ: om. Q **9–10** *πορευθῆναι* Q: om. γ

ε 12 = γ I 27 *a*, narrationem exornavit Mgr

11 *τούτου δὲ γενομένου* Q: *ὁ δὲ* γ | cf. *Ἀλέξανδρος ἐσηκώθη ἀπὸ τὸν βασιλέαν τῆς Σαλονίκης καὶ ὑπῆγεν πρὸς τὴν Ἀθῆναν* Mgr 12 *πάσῃ τῇ Ἑλλάδι* Q: *πᾶσιν* γ 13 *ἐπέπεσεν* γ: *ἐγένετο* Q 14 *πάντες* Q: *ἅπαντες* γ

ναις, ἐκεῖσε γὰρ ἦν αὐτῶν ἡ ἀρχή. δώδεκα δὲ ῥήτορες τῷ τότε καιρῷ διεῖπον τὴν πᾶσαν ἀρχὴν Ἑλλάδος. συνήρχοντο δὲ πάντες ὁμοῦ καὶ βουλὴν ἐδίδοσαν τί ἄρα περὶ Ἀλεξάνδρου διαπράξοιντο. ἐπὶ τρισὶ δὲ ἡμέραις διαπορούμενοι καὶ τὸ συμφέρον διερευνῶντες οὐκ ἦν αὐτοῖς τὸ ἀρέσκον τὸ σύνολον. ἄλλοι μὲν αὐτῶν ἀντιπαρατάξεσθαι Ἀλεξάνδρῳ ἔλεγον, ἄλλοι δὲ τὸ ἀνάπαλιν ἐπεφώνουν. καὶ ἦν αὐτοῖς ἄωρος ἡ τύχη.

(2) Καὶ δὴ πάντες συμβουλευόμενοι μάχεσθαι Ἀλεξάνδρῳ, Σοφοκλῆς ἀντεφθέγξατο· Καὶ ποῦ ἡμῖν ἐλπὶς νίκης ⟨καὶ τοῦ⟩ τῷ Ἀλεξάνδρῳ μὴ ὑπείκειν; – οἱ δὲ περὶ Ἀντισθένην καὶ Παρμενίδην φασίν· Ἔχομεν λόγους ἐκ προγόνων· ὁπόταν τῇ πόλει ἡμῶν ἐπῆλθε Διόνυσος πᾶσαν ὑποτάξας γῆν, ἀλλὰ ἀντεῖπον αὐτῷ Θηβαῖοι καὶ μέγιστα κατ' αὐτοῦ ἦραν τρόπαια καὶ ἀχρεῖον αὐτὸν ἀποστρέφουσιν ὡσεὶ ἀδρανῆ. καὶ μὴ κρείσσων Ἀλέξανδρος Διονύσου.

(3) Ἐπὶ τούτοις Διογένης παριὼν ἀκούει τὰ λεγόμενα καὶ περιστραφεὶς εἶπεν· Εἴπατε δή μοι, οἱ τῶν Θηβαίων ἔξαρχοι, ἐν τῷ τότε καιρῷ τίς ὁ ὑπὲρ Θηβῶν ἀγωνιζόμενος καὶ τίνες οἱ τότε στρατηγοί; – οἱ δὲ εἶπον· Ὁ μὲν πρόμαχος Ἀτρεύς, οἱ

---

1 ἦν αὐτῶν γ: inv. in Q | ἡ om. Q | ἀρχὴ δώδεκα Q in margine | δὲ ῥήτορες γ: om. Q 3 τί ἄρα Q: τί C: ὡς τί ἄν Q: ὡς τί R 5 αὐτοῖς γ: αὐτῶν Q 6 Ἀλεξάνδρῳ Q: -ον γ | ἄλλοι γ: οἱ Q 9 Σοφοκλῆς Q: Σοφονίας Mgr: Διογένης γ | καὶ τοῦ addidi 10 τῷ Ἀλεξάνδρῳ γ: τοῦ Ἀλεξάνδρου Q | μὴ Q γ: om. C: δεῖ Müller 11 φασίν QC: φησίν R: ἔφασκον D 12 ἐπῆλθε γ: διῆλθε Q | Διονύσιος ὁ βασιλεὺς τῆς Περσίας Mgr | ὁ πᾶσαν γ 13 Θηβαῖοι Q: Ἀθηναῖοι γ | κατ' αὐτοῦ γ: -τὸν Q 14 ἀποστρέφ. γ: ὑπο- Q | ἀδρανῆ scr.: ἀδράνεον Müller: ἀδρανίαν DC: ἀδραμίαν R: ἄνδρα ἕνα Q 15 Διονύσου DC: Διονυσίου R: Διούσσους Q 17 Θηβαίων Q: Ἀθηναίων γ

δὲ μετ' αὐτῶν στρατηγοὶ †οἷος ἐστὶ† καὶ ὁ θαυμαστὸς Ὕλλος, ὅς καὶ βασιλεύειν Λακεδαιμονίοις πρῶτος ἐνδείκνυται. — καὶ Διογένης ἐπὶ τούτῳ γελῶν εἶπε· Καὶ ὦ συμφορᾶς, Ὕλλον ἐξ αὐτῶν μοι παραστήσατε μόνον, καὶ ἐρῶ ὑμῖν Ἀλεξάνδρῳ ἀντιπαρατάξασθαι. εἰ δὲ μὴ τοῦτο ποιήσητε, οὐ μόνον Ἀλεξάνδρῳ οὐκ ἀντιμαχήσεσθε ἀλλὰ καὶ τὰ τείχη Θηβῶν ἐδαφίσατε. — καὶ ταῦτα εἰπὼν διῆλθεν, ἀλλ' οὐκ ἔπειθεν τὸν ὅμιλον εὔλογον λέγειν, ἵστατο δὲ αὐτῶν ἡ βουλὴ τὰ πρὸς μάχην εὐτρεπίζεσθαι.

(4) Ἐπὶ τούτῳ καταλαμβάνει Ἀλέξανδρος καὶ παρεκτείνει τὴν φάλαγγα καὶ τὰ εἰς εἰρήνην ⟨ἦν⟩ αὐτοὺς ἐρωτῶν. αὐτοὶ δὲ μᾶλλον ἐπὶ πλεῖον ἐθρασύνοντο καὶ ἀποστρέφουσι τοὺς ἀγγέλους Ἀλεξάνδρου οὐ μετρίως ὑβρίσαντες. Ἀλέξανδρος δὲ τῶν ἐκεῖσε ὑποχωρῶν μικρόν τι ἐκ τῆς πόλεως εἶπεν αὐτοῖς· Ὦ ὑμεῖς, ἐπ' ἐσχάτου μετανοήσαντες οὐδὲν ὠφελήσετε. — καὶ δὴ ὡς ἀπὸ σταδίων δώδεκα ἔπηξε φοσσᾶτον Ἀλέξανδρος ἐκδεχόμενος

---

1 *οἱ δὲ μετ' αὐτῶν στρατηγοὶ* Q: *οἱ δὲ μετ' αὐτῶν στρατηγῶν* R: *καὶ* (om. C) *μετὰ τῶν στρατηγῶν* (*στρατῶν* C) DC post *στρατηγοί* add. *οἱ δὲ εἶπον* Q: om. *γ* | *οἷός ἐστι* Q: *εἶναί σοι γ*: *ἦν* corr. C: latet nomen proprium, vel *ἐν οἷς ἐστι* sicut tempt. P. Wirth | Ὕλλας varie scriptum Q *γ*: Ὕλλος scripsi: Οἰλεύς Müller **2–3** *καὶ Δ.* Q: *καὶ ὁ Δ. γ* **3** *γελῶν* Q: *γελιῶν* RC: *γελάσας* D | *Ἀλεξάνδρῳ* Q: *-ον γ* **5** *μὴ* QC: *καὶ μὴ γ* | *ποιήσητε* Q: *-σατε γ* **5–6** *Ἀλεξάνδρῳ οὐκ ἀντιμαχ.* Q: *Ἀλέξανδρον οὐ μαχ. γ* **6** *τὰ τείχη Θηβῶν* Q: *τὴν Θήβαν γ* **7** *τὸν ὅμ.* Q: *ὅμ. γ* | *εὔλογον γ*: *εὐδοκῶν* Q **8** *εὐτρεπίζεσθαι γ*: *-ζειν* Q **9** *τούτῳ* Q: *-τοις γ* **10** *ἦν* addidi | *ἐρωτῶν* Q: *ἐρωτᾷ γ* **11** *πλεῖον* Q: *πλεῖστον γ* **13** *ὑποχωρῶν* Q: *-ρεῖ γ* · | *εἶπεν* Q: *εἰπὼν γ* | *ὦ* Q: *καὶ ὦ γ* **14** *ἐπ'* Q: *ἐξ γ* | *ὠφελήσετε* Q: *-σητε γ*: *-σεσθε* v. Lauenstein **15** *τὸ φοσσᾶτον γ*

τὸν ἐκ Σκυθῶν αὐτῷ ἐπερχόμενον λαόν. μετ᾽ οὐ πολλὰς οὖν ἡμέρας φθάνουσιν οἱ προσδοκούμενοι ποικίλως ἐνωπλισμένοι, θώρακας ἔχουσιν οἱ πάντες ἀλυσιδωτοὺς καὶ ἀσπίδας κατὰ στίχας λευκάς, καὶ τόξα καὶ φαρέτρας καὶ δόρατα. ἐπισκεψάμενος οὖν αὐτοὺς εὗρε χιλιάδας ὀγδοήκοντα πέντε.

(5) Κατ᾽ αὐτὴν δὲ τὴν ὥραν ἐπὶ Θήβας διίστησι πόλεμον καὶ ἐπέστη τῇ πόλει καὶ ἤρξατο πολιορκεῖν αὐτήν. καὶ οὐκ ἦν ἀριθμὸς τῶν τοξότων, ἀπὸ γὰρ τῆς βολῆς ὁ ἥλιος οὐκ ἐφαίνετο. καὶ ἦν ἰδεῖν θαῦμα μέγιστον· οἱ γὰρ τοῖς τείχεσι χάριν πολέμου ἐφιστάμενοι δίκην φύλλων ἐκ τοῦ τείχους κατήρχοντο, ἐῴκεσαν γὰρ δένδροις φυλλορρ⟨ο⟩οῦσι καὶ ὑπ᾽ ἀνέμων βιαίων κλονουμένοις. ἐν τούτοις νυκτὸς καταλαβούσης Θηβαῖοι ἐξέρχονται καὶ δοῦλοι ἄκοντες τοῖς Μακεδόσι προσῄεσαν μόνον τὸ ζῆν ἐξαιτούμενοι. καὶ ὁ ἀνθιστάμενος Ἀλεξάνδρῳ οὐκ ἦν.

(6) Δημοκεύς τις ἐν πείρᾳ αὐλοῦ μουσικοῦ ἐν πάνυ ἐλεημονητικοῖς κρούσμασιν ἐπηύλει Ἀλεξάνδρῳ ἐπιδεόμενος καὶ τοῖς ποσὶν ἐπακολουθῶν ἐδέετο ἀνέχεσθαι θυμόν. ἐπὶ τούτοις προσ-

---

1 ἐκ Q: τῶν γ | Σκύθων Q **2** προσδοκούμενοι Q: -ώμενοι γ | ποικίλως Q: ποικίλοις θώραξιν γ **3** θώρακας ἔχουσιν Q: om. γ | ἀλυσιδωτοὺς correxi: -τὰς codd. | καὶ om. γ **3–4** καταστίχας Q: καταστήσαντες γ **4** post φαρέτρας add. καὶ μαχαίρας RD: om. QC **5** αὐτοὺς QR: αὐτοῖς DC **6** Θήβας Q: Ἀθήνας γ: de Athenis etiam Mgr loquitur | διίστησι πόλεμον Q: ἐκτείνει τὴν φάλαγγα γ **7** αὐτὴν Q: -τοῖς γ **8** ἐφαίνετο QR: ἀνεφαίνετο DC **9** θαῦμα γ: θέαμα Q **10** ἐφιστ. Q: ἱστ. γ **10–14** ἐῴκεσαν – ἐξαιτούμενοι Q: om. γ, qui hic add. aliqua verba e β I 27 **13** ἄκοντες Q: ἑκόντες fortasse scrib. **14** ὁ ἀνθ. Ἀλ. οὐκ ἦν Q: οὐκ ἦν ὁ ἀνθ. Ἀλ. γ

ε 12,6 solo in codice Q

16 κρουόμασιν Q

ἔσχεν Ἀλέξανδρος καί φησι πρὸς Δημοκέα· Ὦ βέλτιστε σύ, ἐπίτεινον δή σου τοῖς κρούσμασι. καὶ Ὀρφεὺς γὰρ κιθαρίζων, Θῆβαι ἐκτίζοντο, καὶ τοῦτο μισθὸς τῷ Θρᾳκὶ ὥστε αὐτὸν κιθαρίζειν, ὃν ἀκούοντες ἀντὶ μισθοῦ τῆς ἡδονῆς ἔκτιζον. καὶ οὕτως Θῆβαι ὑπὸ Ὀρφέως ἐκτίσθησαν· σοῦ δὲ αὐλοῦντος εἰς βάθρον καταστραφήσονται. — ταῦτα εἰπὼν οὐκ ἐκάμφθη τὸ σύνολον ἀλλ' ἦν ὁ θυμὸς αὐτοῦ ἐπὶ τοῖς ἀνθεστηκόσιν αὐτῷ.

(7) *Ὡς δὲ ἐπαύσατο ὁ πόλεμος περιὼν Ἀλέξανδρος καὶ περισκοπῶντὰ ἀναθήματα ἐντυγχάνει Διογένην ἔν τινι ἡλιακῷ καθεζόμενον τόπῳ καί φησιν· Οὗτος δὲ τίς; — οἱ δὲ περὶ αὐτὸν ἔφησαν· Οὗτος Διογένης ὁ φιλόσοφος ὁ πολλάκις συμβουλεύσας Ἀθηναίοις τῷ σῷ μὴ μάχεσθαι κράτει. — ταῦτα ἀκούσας Ἀλέξανδρος καταλαμβάνει τὸν τόπον εἰς ὃν Διογένης καθήμενος ἡλιάζετο — πρωὶ γὰρ ἦν καὶ ὁ Διογένης τῷ κρύει ἐπιέζετο — καί φησιν Ἀλέξανδρος· Ὦ Διόγενες, τί σοι χαρίσομαι; — ὁ δέ· Οὐδέν, ἔφη, ἄλλο ἤ τὸν ἥλιόν μοι χάρισαι ἀπιὼν ἀπ' ἐμοῦ ἵνα τὸ παρὸν θερμανθῶ. — ἐπὶ τούτῳ ὁ Διογένης θαυμάζεται ὡς τῶν γηίνων μὴ ἐφιέμενος.*

13

(1) *Ἀπάρας οὖν τῶν ἐκεῖσε Ἀλέξανδρος ᾤχετο Ῥώμην κα-*

---

3 *μισθὸς* corr.: *μισθὸν* Q **5** *Θῆβαι* corr.: *Θηβαῖοι* Q

ε 12,7 etiam in γ **8** *περιϊὼν* Q: *ἵστατο* γ **8–9** *καὶ περισκοπῶν τὰ ἀναθήματα* γ: om. Q **11** post *οὗτος* add. *ἔστιν δέσποτα* γ: om. Q **15** post *ὁ δὲ* add. *πρὸς αὐτὸν* γ: om. Q **16** *ἤ* Q: *εἰ μὴ* γ | *ὁ* Q: om. γ

ε 13 = γ I 27 b

18 *καταλαβεῖν* γ: *-βὼν* Q

ταλαβεῖν. καὶ σχεδὸν προυπαντῶσιν αὐτῷ πρέσβεις ἀπὸ πάντων τῶν ἐθνῶν καὶ προσκυνοῦσιν ἔμπροσθεν αὐτοῦ, ἄγοντες αὐτῷ δῶρα χρυσίον τε καὶ ἀργύριον ὧν οὐκ ἔστιν ἀριθμός, συνερχόμενοι αὐτῷ πάντες εἰς συμμαχίαν. καὶ οὐκ ἦν ἀριθμὸς τοῦ πλήθους. καὶ δὴ καταλαμβάνει τὴν Ῥώμην καὶ προυπαντῶσιν αὐτῷ Ῥωμαῖοι μετὰ τυμπάνων καὶ χορῶν, κλάδη δαφνῶν ἔχοντες ἐν χερσί, καὶ τῷ Ἀλεξάνδρῳ ἐπεισιόντες βασιλέα κοσμοκράτορα τοῦτον ἀνηγόρευον. εἰσελθὼν δὲ ἐν τῇ πόλει ἄπεισιν ἐν τῷ Καπετωλίῳ {Διός}, καὶ ὁ ἱερεὺς δέχεται αὐτὸν καὶ ξενίζεται παρ᾽ αὐτῷ. ὁ δὲ λοιπὸς ὄχλος ὅσοι μὲν ἐν τῇ πόλει Ῥωμαίων ἐχωροῦντο ἐν αὐτῇ μιτατεύονται, τὸ δὲ λοιπὸν πλῆθος ἐν τοῖς πέριξ χωρίοις.

(2) Διατρίψαντος οὖν Ἀλεξάνδρου ἐν Ῥώμῃ ἰδοὺ καὶ Λαομέδων ὁ συναρματηλατήσας αὐτῷ σὺν χιλιάσι πεντήκοντα ἧκεν εἰς συμμαχίαν Ἀλεξάνδρου, ἔχων μεθ᾽ ἑαυτοῦ δῶρα ἔν τε χρυσίῳ καὶ λίθοις καὶ μαργαρίταις. δέχεται τοῦτον Ἀλέξανδρος καὶ γνησίως κατησπάζετο καί· Ὦ γενναῖε, εἶπεν, ἧκάς μοι καὶ μετὰ Δαρείου μαχομένῳ σύμμαχον εἶναι.

(3) Ἀπάρας οὖν ἀπὸ Ῥώμης ὥρμησε κατὰ δυσμῶν καὶ οὐκ

---

1 ἀπὸ Q: ἐκ γ 3 χρυσίον τε καὶ ἀργύριον Q: χρυσὸν καὶ ἄργυρον γ | ὧν Q: ὅσον γ 4–5 καὶ οὐκ – πλήθους Q: om. γ 6 τυμπάνων καὶ χορῶν Q: inv. in γ | κλάδη δαφνῶν Q: καὶ κλάδους δάφνης γ 7 ἐν χερσί Q: ἐν ταῖς χερσὶν αὐτῶν γ | καὶ βασιλέα γ 8 ἀνηγόρευον Q: ἀναγορεύουσιν γ 9 Διός delevi 10 αὐτῷ Q: -τοῦ γ 10–12 ὁ δὲ λοιπὸς – πέριξ χωρίοις Q: om. γ 13 διατρίψαντος ... Ἀλεξάνδρου Q: διατριψάντων γ 14 χιλιάσι γ: χιλιάδας Q | ἧκεν RC: ἐλθὼν D: om. Q 16 μαργαρίταις Q: μαργάροις γ | δέχεται δὲ γ | post Ἀλέξανδρος add. ἔχων αὐτῷ Q: om. γ 17 κατησπάζετο Q: κατασπάζεται γ 19 ἀπὸ Ῥώμης γ: τῶν ἐκεῖσε Q

ἦν αὐτῷ ὁ ἀνθιστάμενος. καὶ προσυπαντῶσιν αὐτῷ πᾶσαι αἱ βασιλεῖαι δυσμῶν καὶ δώροις ἐκμειλίσσονται αὐτὸν καὶ παρακαλοῦσι μὴ ἐπιβῆναι αὐτῶν τὴν γῆν. ἐπεκάμφθη οὖν ἐπ' αὐτοὺς Ἀλέξανδρος καὶ συνετάξατο ἀντιστραφῆναι εἰ φόρους αὐτῷ τελέσωσι χρόνων δώδεκα. καὶ συνέθεντο τοῦτο ποιῆσαι καὶ ἤγαγον αὐτῷ χρυσίου τε καὶ ἀργυρίου ἀναρίθμητον πλῆθος. καὶ λαβὼν αὐτὸ Ἀλέξανδρος ἀνθυποστρέφει καταλιπὼν αὐτοῦ πάντων ἐν πᾶσι κύριον τὸν Λαομέδοντα.

(4) *Ἐκεῖθεν δὲ ἀνθυποστρέψας τοῖς τοῦ νότου μέρεσιν ἐπιβαίνει καὶ ὑπέταξεν ἔθνη πολλὰ καὶ ποικίλα. καὶ διῆλθεν τὴν οἰκουμένην καὶ εἰσῆλθε τὴν ἀοίκητον καὶ διώδευσε μέχρι τοῦ Ὠκεανοῦ. καὶ εὗρεν ἀνθρώπους δικεφάλους καὶ ἀκεφάλους καὶ ὀφιόποδας καὶ ἐπολέμησε μετ' αὐτῶν. καὶ ἔφυγον ἀπ' αὐτοῦ διότι οὐκ ἦν ἰσχὺς ἐπ' αὐτοῖς.*

(5) *Εἶπε δὲ Ἀλέξανδρος περὶ αὐτῶν ὅτι Ὥσπερ οὗτοι οἱ δικέφαλοι ἄνθρωποι καὶ ἀκέφαλοι φοβεροὶ μὲν τοῖς ὁρῶσι φαίνονται, ἐν δὲ τῷ πολεμεῖν οὐ κατισχύουσιν ἀλλ' ἀποροῦντες φεύγουσιν ἑαυτοῖς βοηθῆσαι μὴ δυνάμενοι. οὕτως καὶ ἐπὶ ὄχλον πολὺν ἀπεικονίζεται· δύο ἔχοντες ἀρχάς, τῇ μὲν μιᾷ τῇ ἑτέρᾳ*

---

2 *αὐτὸν* Q: *-τῷ γ* 3 *τὴν γῆν γ*: *τῆς γῆς* Q 3–6 *ἐπεκάμφθη — ἀναρίθμητον πλῆθος* Q: om. *γ* 7 *αὐτὸ* Q: *αὐτῶν τὰ δῶρα γ* | *αὐτοῦ* Q: *αὐτῶν γ* 8 *ἐν πᾶσι* Q: om. *γ* | post *Λαομέδοντα* add. *συνταξάμενοι φόρους αὐτῷ τελεῖν μέχρι καὶ χρόνων ιβ' γ* 9 *μέρεσιν* Q: *πρὸς τὸ νοταϊκὸν μέρος* Mgr: *πέρασιν γ* **10** *διῆλθεν γ*: *ἦλθε* Q **12** post *εὗρεν* add. *ἐν τοῖς τόποις ἐκείνοις γ*: om. Q | *καὶ ἀκεφάλους καὶ ὀφιόποδας* Q: om. *γ* **13** post *αὐτῶν* add. *καὶ ἥττησεν αὐτοὺς γ*: om. Q **14–p. 49,17** *διότι οὐκ ἦν* usque ad *ὑπάρχωσιν* Q: om. *γ*: orationem Alexandri de acephalis ancipitibus anguipedibusque omisit etiam Mgr **19** *πολὺν* corr. e *πολλοὶ* Q | *ἔχοντες* corr. e *ἔχοντος* Q

μὴ ὑποκυπτούσῃ καὶ τῇ ἑτέρᾳ τῇ ἄλλῃ μὴ ὑποκλινομένῃ κἂν τάχα καὶ συμμαχῆσαι ἀλλήλοις θέλωσιν, ἀλλ' εἷς τὸν ἕτερον βλέπων μήπως ὁ ἕτερος φυγὼν τὸν ἕτερον καταλείψῃ, ἀμφότεροι φεύγουσιν. καὶ οὐκ ἔστιν αὐτοῖς ἰσχὺς πολεμῆσαι λαῷ μίαν ἀρχὴν ἔχοντι. ὡσαύτως καὶ ὁ λαὸς ὁ ἀκέφαλος τῷ κεφαλὴν ἔχοντι ἀντιστῆναι οὐ δύναται, καθὼς καὶ οὗτοι οἱ παρηλλαγμένοι ἄνθρωποι βλέπονται. καὶ γὰρ ὁ δύο κεφαλὰς ἔχων ἄνθρωπος τῷ μίαν ἔχοντι κεφαλὴν οὐ δύναται μάχεσθαι, ἀνίσχυρος γάρ ἐστιν. ὁμοίως δὲ καὶ ὁ μὴ κεφαλὴν ἔχων τὸν κεφαλὴν ἔχοντα φεύγειν, οὐ γάρ ἐστιν ἰσχὺς ἐν αὐτῷ. ὡσαύτως δὲ καὶ οὗτοι οἱ τοὺς πόδας ὄφεις ἔχοντες· οὐχ ὑποτάττουσιν αὐτοὺς ἀλλ' ὅπου θέλουσιν οἱ ὄφεις ἐκεῖ ἄγουσι τοὺς ἐπ' αὐτῶν ἱσταμένους. καὶ γὰρ κἂν θέλωσιν ἀντιστῆναι οὐ δύνανται ὅτι φεύγουσι καὶ μὴ βουλόμενοι. οὕτως ἐστὶ καὶ ἐπὶ λαοῦ μὴ ἔχοντος ὑποταγήν. τοῖς ἄρχουσι μὴ ὑποτασσόμενοι ἑαυτοὺς καὶ μὴ βουλόμενοι θανατοῦσι καὶ οὐ δύνανται τῷ ὑποταγὴν ἔχοντι ἀντιπαρατάξασθαι κἂν ἀλκιμώτατοι καὶ ἀνδρεῖοι ὑπάρχωσιν.

(6) *Ἐκεῖθεν οὖν διελθὼν εὗρε γυναῖκας δυσθεωρήτους καὶ λίαν μεγίστας, ὡς εἶναι αὐτὰς πάντων ὧν περιῆλθον δυσμαχώτεραι καὶ ταχύτεραι. αὗται δὲ ἐν τῷ τρέχειν τοὺς μασθοὺς ἐν τοῖς ὤμοις τιθέασιν. ἔνδυμα δὲ αὐταῖς ἡ τῶν τριχῶν δασύτης. αὗται δὲ ἐπελθοῦσαι πτεροῖς ἦσαν πετομέναι. εἰς παντελῆ δὲ ἀπορίαν ἦλθον* Μακεδόνες *ταύτας ὡς ἐθεάσαντο πετομένας καὶ πρὸς αὐτοὺς μαχομένας.* Ἀλέξανδρος *δὲ ταύτας*

---

4 *λαῷ* corr. e *λαὸν* Q 12 *ἐπ'* corr. e *ὑπ'* Q 19 *μεγίστας γ*: *-στους* Q | *ὡς εἶναι αὐτὰς* Q: om. *γ* | *περιῆλθον* Q: *διῆλθον* *γ* 19–20 *δυσμαχώτεραι* Q: *-ρας* DC: *-ρες* R 20 *καὶ ταχύτεραι* Q: om. *γ* 20–21 *μασθοὺς αὐτῶν γ* 21 *τιθέασιν γ*: *τεθέασιν* Q 23 *ἀπορίαν γ*: *ἀπόνοιαν* Q 24 *αὐτοὺς μαχομένας* *γ*: *αὐτὰς πετομένας* Q

ὡς εἶδεν προστάσσει πῦρ ἀνάπτειν καὶ ὑπεράνωθεν κρατεῖν· αἵτινες τὴν φύσιν τοῦ πυρὸς ἀγνοήσασαι ἀσκόπως κατέπεσον ἐπ' αὐτοὺς καὶ τῶν πτερῶν καέντων οὐκέτι ἀνάξαι ἴσχυσαν. πεπτωκυῖαι δὲ ἀνῃρέθησαν ὑπὸ τῶν στρατιωτῶν τοῖς ξίφεσιν. ἀνεῖλον δὲ καὶ αὗται τοῖς ὄνυξιν ἑκατὸν στρατιώτας. τοιούτου δὲ τρόπου χρώμενοι μόλις διῆλθοσαν αὐτάς.

(7) Τὰ ἐκεῖθεν δὲ οὐκέτι διελθεῖν ἔχοντες τοῦ Ὠκεανοῦ αὐτοῖς κωλύοντος τῆς εἰσόδου, τὴν δὲ ἀριστερὰν κρατήσαντες παράλιον Ὠκεανοῦ καὶ τὰ πρὸς βορρᾶν περιπατήσαντες τὴν οἰκουμένην κατέλαβον. πολέμους δὲ πλείστους μετὰ βαρβάρων ποιήσας πάντα τὰ ἑσπέρια ὑπέταξε.

14

(1) Ἐκεῖ οὖν τὰ στρατόπεδα ἀναπαύσας προστάσσει τοῖς

---

1 προστάσσει Q: ἐκέλευσε γ | ἀνάπτειν Q: ἀνάψαι γ 5 ἑκατὸν στρ. Q: inv. in γ 5–6 τοιούτῳ δὲ τῷ τρόπῳ χρησάμενοι γ 7 τὰ ἐκεῖθεν Q: τῶν ἐκεῖσε γ 8 αὐτοῖς Q: om. γ | τῆς εἰσόδου γ: τὴν ὁδὸν Q | τὴν δὲ Q: τὴν γ | κρατήσαντες Q: om. γ, sed post Ὠκεανοῦ add. πιάσαντες 9 παράλιον γ: πάλιν Q | καὶ γ: om. Q 11 πάντα τὰ ἑσπέρια ὑπέταξε γ: ὑπέταξεν αὐτούς Q cf. καὶ εἶδε τὴν θάλασσαν ὁποῦ βουτᾶ εἰς τὸν Ὠκειανὸν ποταμόν, ἀπ' αὐτοῦ ἐστράφη πίσω εἰς τὸν κόσμον Mgr

ε 14 solo in codice Q, narrationem recensionis ε mutatam habet Mgr; pauca e 14,4 praebet etiam γ in cap. I 35

12 ὅρισε τὰ φουσᾶτα του νὰ ἀναπαυτοῦν, ἀτός του ὁ Ἀλέξανδρος ὅρισε τριγύρου τοὺς ἀφεντάδες νὰ ποιήσουν χοντρὰ ξύλα (= naves), κόκες καὶ κάτεργα χοντρὰ ιβ' χιλιάδες, καὶ πᾶσα ξυλόκοκα νὰ ἐπαίρνη χίλιους ἀνθρώπους ἀρματωμένους μὲ τὴν δίκησίν τους Mgr, in quo deinde Philonem atque Ptolemaeum una cum equitatu Barbariam et Aegyptum terra petere iubet Alexander

βαρβάροις ναῦς αὐτῷ κατασκευάσαι, οἵτινες ἑτοίμως εἶχον καὶ ἤγαγον ἐπ᾿ αὐτόν. ἡ δὲ ναῦς ἦν χωροῦσα ἄνδρας χιλίους μετὰ πάσης τῆς ἀπαρτίας αὐτῶν. καὶ συναγαγὼν πάσας τὰς ναῦς καὶ ἐρευνήσας εὗρε χιλιάδας δύο, εἰς ἃς ἐπιβὰς πανστρατὶ νότου πνεύσαντος οὐρίως δι᾿ ἡμερῶν τριάκοντα ἦλθε Σέλευκος μὲν ὁ ἀρχιστράτηγος αὐτοῦ σὺν ναυσὶ χιλίαις ἐν ⟨Κι⟩λικίᾳ. καὶ ἐξελθὼν ἐκ τῶν ναύκλων ἐκεῖ Σελεύκειαν τὴν πόλιν ἔκτισεν ἐπὶ τῷ ἰδίῳ ὀνόματι. Ἀλέξανδρος δὲ καὶ αὐτὸς ἀποβὰς σὺν ναυσὶ πεντακοσίαις πλησίον εἰς ⟨Κι⟩λικίαν ᾠκοδόμησε καὶ αὐτὸς πόλιν ἐπὶ τῷ ὀνόματι αὐτοῦ καὶ Ἀλεξάνδρειαν αὐτὴν ἐκάλεσεν. Ἀντίοχος δὲ ⟨σὺν ταῖς λοιπαῖς ναυσὶν ἦλθεν⟩ ἐν τῷ πρὸς ⟨Κι⟩λικίαν μέρει, ἐν ᾧ καὶ αὐτὸς ἐκεῖσε πόλιν ἔκτισεν ἐπὶ τῷ ἰδίῳ ὀνόματι. καὶ οὐκ ἔγνωσαν ποῦ ἕκαστος αὐτῶν διατρίβει.

(2) Ἀλέξανδρος δὲ ἀπάρας τῶν ἐκεῖσε τὴν παράλιον διήνυσεν ὁδὸν τὴν ἐπὶ δυσμάς. ἐρχόμενος δὲ ἔμαθε περὶ Σελεύκου, καὶ Σέλευκος μεμαθήκει περὶ Ἀλεξάνδρου, καὶ ἀμφότεροι ἑνωθέντες εἴχοντο τῆς ὁδοιπορίας. διερχόμενοι δὲ περὶ Ἀντιόχου μανθάνουσι καὶ καταμηνύουσιν αὐτὸν καὶ ἀμφότεροι ἑνώθησαν ἐν τόπῳ τινί. καὶ ἐν τῷ τόπῳ πόλιν ᾠκοδόμησαν καὶ Ὁμοναδὴν αὐτὴν ἐπωνόμασαν διὰ τὸ ὁμαδευθῆναι αὐτοὺς ἐν αὐτῇ. καὶ ὁμοῦ βαδίσαντες οἱ τρεῖς διελθόντες τὰ ἐκεῖσε διέστησαν ἀπ᾿ ἀλλήλων.

---

1 ἑτοίμους Q: correxi 4–5 verba ἐπιβὰς ...... οὐρίως transposuit γ in cap. I 28 (p. 10, 21 v. Lauenstein) 5 *οὐρίως* Q: *οὐρίου* γ: *ἀρχίρισεν ἄνεμος μέγας* (v. l. *δυνατός*) Mgr 6 Κιλικίᾳ scripsi: *Λυκίᾳ* Q: Seleucus urbem Seleuciam in Cilicia condidit secundum Mgr 7 *Σελευκείαν* Q 9 *Λυκίαν* Q 10 *Ἀλεξανδρείαν* Q 11 *σὺν ταῖς λοιπαῖς ναυσὶν* addidi 12 *Λυκίαν* Q 19–20 cf. *ἐμαζώχθησαν ἀντάμα μὲ τὸν Ἀλέξανδρον καὶ εἰς αὐτὸν τὸν τόπον ἔκτισαν ὅλοι* (v. l. *ἄλλον*) *κάστρον καὶ ἐπονόμασαν τοῦ κάστρου τὸ ὄνομα* Μία Καρδία Mgr

(3) Καὶ Ἀντίοχος μὲν τῆς πρὸς νότον εἴχετο ὁδοῦ, Σέλευκος δὲ τῆς κατὰ βορρᾶν, Ἀλέξανδρος δὲ μέσον αὐτῶν. καὶ Ἀντίοχος μὲν κτίζει τὴν κατὰ Παμφυλίαν Ἀντιόχειαν, Σέλευκος δὲ Πισσινοῦντα εἰς ὄνομα τῆς κόρης ἧς ἠράσθη, Ἀλέξανδρος δὲ Νικολείαν διὰ τὸ ὄναρ θεάσασθαι ἐν τῷ τόπῳ, ὡς γυνὴ αὐτῷ ἀνεφάνη ἐν τῷ ὀνείρῳ ἥτις ἐρωτηθεῖσα παρ' αὐτοῦ τὴν τοῦ ὀνόματος κλῆσιν Νικολείαν εἶπεν καλεῖσθαι. διυπνισθεὶς οὖν καὶ ἀναθεὶς τὸ ὄναρ τοῖς αὐτοῦ σοφοῖς, Μενάνδρῳ λέγω καὶ Ἀριστοκλεῖ, τὴν λύσιν εἴποσαν εἶναι 'νικᾶν τοῖς πᾶσιν Ἀλέξανδρον'.

(4) Ἐκεῖθεν οὖν διελθὼν πάλιν ἐν Ἀσίᾳ διήλθοσαν, καὶ κτίζουσιν ἐν αὐτῇ πόλιν καὶ ὄνομα αὐτῇ Τρίπολιν εἴποσαν. ἀντικρὺ δὲ αὐτῆς Σέλευκος πόλιν οἰκοδομεῖ ἥτις Νικατορία ἢ καὶ Λαοδίκαια ἐκλήθη, διὰ τὸ τὸν λαὸν δικάσασθαι περὶ Σελεύκου τῷ Ἀλεξάνδρῳ, ὡς ὅτι· τὸ στρατιωτικὸν ἀποθέμενοι κτίζειν ἀναγκαζόμεθα. — καὶ Ἀντίοχος τὴν κατ' Ἀσίαν κτίζει Ἀντιόχειαν. ἐν τούτῳ Ἀλέξανδρος θυμομαχήσας εἶπεν αὐτοῖς· οὐκοῦν καταλιπόντες Μακεδονίαν διήλθομεν τὸν σύμπαντα κόσμον καὶ ἐν Ἀσίᾳ καταβάντες κτίστας Μακεδόνας μαθεῖν καταναγκάζομεν, καὶ τὸ στρατιωτικὸν ἀποβαλεῖν φρόνημα; — καὶ οὐκέτι αὐτῶν διεχώρισεν, ἀλλ' ἄμφω πᾶσα ἡ φάλαγξ ἦν

---

3 Παμφ. Ἀντ. corr. e Παμφύλου Ἀντιοχείας Q 4 Πησυνοῦντα Q 11 διελθὼν Q: fortasse scrib. διελθόντες 12–20 ἀντικρὺ .... φρόνημα etiam in γ 13 αὐτῆς C: ταύτης D: αὐτοῦ Q: αὐτῶν R | post Σέλευκος add. ὁ στρατάρχης αὐτοῦ γ | Νικατορίαν Q 14 ἢ καὶ Λαοδίκαια om. γ 14–16 διὰ τὸ ...... ἀναγκαζόμεθα Q: om. γ 16 κατὰ Q γ 17 τούτῳ Q: τούτοις γ 18 διήλθομεν γ: ἤλθομεν Q 19 καταβάντες Q: καταλαβόντες γ 20 ἀποβαλεῖν Q: ἀποβάλλοντες γ

περιπατοῦσα, πᾶσα δὲ Ἀσία καὶ ἡ πόλις αὐτῶν συνῆλθον τῷ Ἀλεξάνδρῳ.

(5) Ἐκεῖθεν οὖν διελθὼν τὴν Φρυγίαν κατέλαβεν, ὁμοίως δὲ καὶ ἐν αὐτῇ πόλιν ἐποίει.

(6) Καταλαμβάνει δὲ καὶ Τρῳάδα· οἱ δὲ τὴν Ἴλιον οἰκοῦντες προυπαντῶσιν αὐτὸν μετὰ λαμπάδων, καὶ εὐφήμων θεὸν ἀποκαλοῦντες καὶ βασιλέα κοσμοκράτορα. εἰσελθὼν οὖν ἐν τῇ πόλει καὶ προσκαλεσάμενός τινας τῶν πολιτῶν ἔφη· ὁ τῶν ἡρώων νεὼς ποῦ; — οἱ δὲ ἀπάγουσιν αὐτὸν ἐκεῖ. καὶ εἰσελθὼν ἔθυσεν Ἕκτορι καὶ Ἀχιλλεῖ καὶ τοῖς ἄλλοις ἥρωσι. — ποῖα τὰ τεύχη Ἀχιλλέως; ποία δὲ καὶ ἡ ἀσπὶς Αἴαντος ἡ ἐπταβόειος καὶ τὸ δόρυ Λεοντέως; — οἱ δὲ ἄγουσιν αὐτά. λαβὼν δὲ ἐνδιδύσκεται τὰ τεύχη Ἀχιλλέως καὶ ταῦτα μόνα θαυμάζει. ἔχων δὲ λίβανον ἔρχεται ἐπὶ Ἀχιλλέα καί φησιν· ὡς θαυμαστὸς σὺ

---

1 fortasse αἱ πόλεις · 3 adventus in Phrygia commemoratus etiam in A et β I 42 6 lampadephoria vetustioribus ignota etiam in Mgr invenitur 7 καὶ εἰσελθὼν εἰς αὐτὴν Ἴλιον τὴν πόλιν ἔθυσεν Ἕκτορι καὶ Ἀχιλλεῖ καὶ τοῖς ἄλλοις ἥρωσιν A (I 42 p. 48,25 Kroll): *illic Hectora Achillemque unaque aliōs heroas divum honore participat Val:* similia Arm: om. β 10 ἡρῶσι Q 11 τὸ σάκος Αἴαντος τὸ ἐπταβόειον A: ἐπταβόειος corr. e ἐπταβόητος Q 14 ἐπὶ Ἀχιλλέα cf. καὶ ἐρώτησεν ὁ Ἀλέξανδρος τοὺς ἄρχοντες τῆς Τρῳάδος· ποῦ εἶναι τῶν πρωτοκαβαλαραίων τὰ μνήματα; καὶ ὑπῆγάν τον εἰς τὰ μνήματα καὶ ἐπέξευσεν καὶ ἐπῆρεν σμύρνον καὶ λίβανον καὶ ἐθυμιάτησεν τὰ μνήματά τους Mgr *praecipue tamen Achillem veneratur ac rogat, uti sibi et ipse faveat et dona quae ferret dignanter admittat; haec enim a sese non ut ab externo ac superstitioso, verum ut consanguineo ac religioso dedicari* Val: haec solo in Valerio et in ε

παρὰ πάντας, δέχοιο δὲ Ἀχιλλεῦ ταῦτα τὰ δῶρα·

ὡς συγγενής σοι συγγενεῖ χοὰς σπένδω,
σὺ γὰρ ἐκ Διὸς καὶ Θέτιδος ἐξέφυς
κἀμὲ δ' ἔτεκεν Ὀλυμπιὰς ἐκ Διός·
ὡς κασιγνήτων ἓν ἡμῖν ἐστιν γένος.

ἐπὶ δὲ τοῖς ἄλλοις ἥρωσι στραφεὶς ἔφη· καὶ ὑμεῖς μακάριοι ὡς τυχόντες κήρυκος Ὁμήρου, ὑπὸ γὰρ τοῖς ἐκείνου λόγοις μεγάλοι ἐστέ, ἐν δὲ τοῖς ὑμῶν ἄθλοις οὐκ ἄξιοι τῶν λεχθέντων ἐπαίνων. — ἐπὶ τούτοις οἱ περὶ Μένανδρον καὶ Ἀριστοκλέα φασίν· ὦ δέσποτα, κρεῖσσον ἡμεῖς γράψομεν τὰς σὰς πράξεις Ὁμήρου. — Ἀλέξανδρος δὲ πρὸς ταῦτα ἔφη· ἔδει με παρ' Ὁμήρου Θερσίτης λέγεσθαι ἢ παρ' ὑμῶν Ἀχιλλεύς.

15

(1) *Ἀπάρας δὲ τῶν ἐκεῖσε τὴν ὁδοιπορίαν κατὰ ἀνατολὰς ποιεῖται καὶ ὅσοι μὲν προυπήντουν αὐτὸν συγγώμης ἠξιοῦντο, ὅσοι δὲ τὸ σύνολον ἀντιλέγειν ἐτόλμων τὰς πόλεις αὐτῶν ἐκ βάθρων κατέσκαπτε. καὶ ἡ ῥομφαία αὐτοῦ διήρχετο ἐπ' αὐτούς. καὶ δὴ φόβος καὶ τρόμος εἶχε τὴν ἑῴαν πᾶσαν ὡς καταλιμπάνειν τὰς πόλεις αὐτῶν καὶ φεύγειν. ἔφθασε δὲ πρὸς Δα-*

---

4 *δ'* corr. e *δὲ* Q 5 *ἐν* Q 9 poetarum nomina etiam in Mgr *Μενατὴρ καὶ Ἀριστοκλέης* 12 *Ἀχιλλεύς* ε a Val: *Ἀγαμέμνων* β ε 15, 1–2 etiam in γ I 36

13 *ἀπάρας δὲ τῶν ἐκεῖσε* Q: *καὶ τηνικαῦτα ἀναζεύξας παρὰ τὴν Συρίαν ὥδευσε* γ sec. β I 36 p. 57, 8–9 Bergson | *ἀνατολὰς* γ: *-λῶν* Q 14 *αὐτὸν* Q: *-τῷ* γ 17 *εἶχε τὴν ἑ. πᾶσαν* Q: *πᾶσαν τ. ἑ. περιέτρεχεν* γ 18 *δὲ* Q: *δὲ καὶ* γ

ρεῖον ἡ τοιαύτη φήμη παρὰ τῶν οἴκαδε φευγόντων καί· Ὦ δέσποτα, εἶπον, οὐκ ἔστιν ἡμῖν ἐλπὶς σωτηρίας ἀπὸ τοῦδε τοῦ Μακεδονικοῦ στίφους. ὡς δὴ ἡμῖν ὑποληπτέον καὶ τὰ ἐνταῦθα κατεπείγεται φθάσαι.

(2) Δαρεῖος δὲ ταῦτα μαθὼν ἀγγέλους πρὸς Ἀλέξανδρον ἀποστέλλει καὶ ἐπιστολὴν περιέχουσαν τάδε·

Φήμη τις ἦλθε ταῖς ἡμῶν ἀκοαῖς, ὦ παῖ Φιλίππου, ὡς πᾶσαν περιδραμὼν γῆν Ἑλλάδα τελείως αὐτὴν κατηδάφισας καὶ μέχρι Ῥώμης καὶ ταῖς ἐνδοτέραις βασιλείαις δυσμῶν ἐπέβης, οὐ μὴν ἀλλὰ καὶ μέχρι Ὠκεανοῦ, Βαρβαρίαις τε καὶ ταῖς ἐνδοτέραις Αἰθιοπίαις καὶ πᾶσι τοῖς ὑπὸ τὴν ἀήττητον χεῖρα ἡμῶν, καὶ πολὺν σεαυτῷ συνήθροισας πλοῦτον. τούτοις δὲ πᾶσι μὴ ἀρκεσθεὶς καὶ ἐπὶ Ἀσίαν καὶ Φρυγίαν ἐπέβης. καὶ ταῦτα μὲν πεπραχὼς κατεφρονήθης παρ' ἡμῶν ὡς μὴ φροντίδα περὶ Ἑλλάδος ἔχειν ἡμᾶς. σὺ δὲ ἐπὶ πλεῖον θρασυνθεὶς κατετόλμησας ὅλως καὶ τῇ ἑῴᾳ ἐπιβῆναι καὶ λῃστρικῶς περιιὼν λεηλατεῖς τὰς πόλεις ἐπιλαθόμενος τῆς δουλικῆς τύχης καὶ ὅτι τῷ Περσικῷ κράτει πάντες δουλεύουσι καὶ οὐκ ἔστιν ὁ ἀνταίρων. λοιπὸν τοὺς τῇ σῇ μωρίᾳ ὑπαχθέντας Μακεδόνων παῖδας ἀντίστρεψον καὶ τῇ Ἑλλάδι ὅλῃ ἀρκέσθητι. χαρίζομαι δέ σοι καὶ τοὺς ἐτησίους φό-

---

2 οὐκ γ: καὶ οὐκ Q | τοῦδε γ: δὲ Q 3 δὴ Q: δ' γ 6 τάδε Q: οὕτως γ 7 φήμη — Φιλίππου Q: ἀκήκοα γὰρ γ qui praebet initium epistolae rec. β I 36 8 Ἑλλάδα R: –δας Q: –δος DC 9 τῶν δυσμῶν γ 10–12 Βαρβαρίαις — χεῖρα ἡμῶν Q: τῆς κατὰ νότον ὥδευσας ut vid. γ 16 θρασυνθεὶς Q 18 δουλεύουσι γ: δουλεύωσι Q 19 τῇ σῇ γ: τὴν σὴν Q 20 ἀντίστρεψον Q: –στρέφε γ 21 ὅλῃ Q: ἄρχειν γ 21–p. 56,2 χαρίζομαι — ὑπερνικώσης Q: om. γ qui add. aliquid (p. 126, 17–20 v. Lauenstein) e rec. ε 10,5

ρους, τὸ εὔτολμον καὶ θρασὺ τῆς ἀνηλικιότητός σου ὑπερνικώσης. εἰ δὲ καὶ τοῦτο μὴ βούλει, ἐπελεύσομαί σοι ὡς τὸ Περσικὸν ἀνταίροντι κράτος καὶ ἡ ῥομφαία μου διερευνήσει σε καὶ οὐκ ἔσται σοι τόπος καταφυγῆς.

(3) *Δεξάμενος οὖν Ἀλέξανδρος τὴν ἐπιστολὴν καὶ ἀναγνοὺς εὐθέως διέρρηξεν αὐτὴν καὶ κελεύει τοὺς ἀγγέλους Δαρείου ἀνασταυρωθῆναι κατέναντι αὐτοῦ. αὐτοὶ δὲ τὰ πάντα ἀφέντες ἠτένιζον ἐλεεινῷ τῷ βλέμματι ἀξιοῦν⟨τες⟩ ἱκετηρίου δέους. καὶ δὴ ἀνασταυροῦνται ἀμφότεροι καί φασιν· Ὦ δέσποτα, οἰκτειρησάτω ἡμᾶς τὸ σὸν κράτος καὶ μὴ ἐν τούτῳ τῷ θανάτῳ ἐάσῃς ἡμᾶς ἀποθανεῖν. τί γὰρ ἠδικήσαμεν; — ὁ δέ φησιν· Ἀποθανεῖσθε διότι ὅλως κατετολμήσατε τοιαύτην ἐπιστολὴν προσκομίσαι μοι. — οἱ δὲ πάλιν ἐλεεινῶς ἀντεφθέγξαντο· Εἰ καὶ ἡμάρτομεν οἱ παῖδές σου ἀλλ' οὖν μὴ διεξέλθῃς ἡμᾶς τῇ ἁμαρτίᾳ ἡμῶν· καὶ σοὶ γὰρ τὰ ὅμοια πρὸς Δαρεῖον δουλεύσομεν· δοῦλοι γάρ ἐσμεν. — ἐπεκάμφθη οὖν Ἀλέξανδρος καὶ κατενεχθῆναι αὐτοὺς ἐκ τῶν ξύλων ἐκέλευσεν.*

(4) *Ἀντιγράψας Δαρείῳ τοιάδε·*

Ἐπειδήπερ ἔγραψας ἡμῖν τὰ περὶ Ἑλλάδος μὴ φροντίζειν ἀλλ' οὐδὲ τῶν ἐν ταῖς δυσμαῖς βασιλειῶν, ταῦτα καὶ ἡμεῖς ἀκριβῶς ἐπιστάμεθα. πᾶς γὰρ ὁ τὰ κρείσσονα ἔχων τῶν

---

2 *βούλει* γ: *βουληθεὶς* Q   3 *κράτος* Q: *κράτει* γ: *ἐπὶ σὲ ὡς τῷ Περσικῷ ἀντέροντα κράτει* Müller

ε 15,3 om. γ   8 *ἀξιοῦντες* scripsi: *ἀξιοῦν* Q

ε 15,4 etiam in γ I 38   19 *ἐπειδήπερ* Q: *καὶ ὅτι* γ | *ἡμῖν* Q: om. γ | *περὶ τῆς* γ   20 *ἐν ταῖς δυσμαῖς* Q: *κατὰ δυσμῶν* γ   21 *πᾶς* γ: *πῶς* Q | *κρείσσονα* Q: *-ττ-* vel *κρεῖττα* γ

χειρόνων οὐκ ἐφίεται, ὁ δὲ τῶν χειρόνων ἐφιέμενος σπουδάζει καταλαβεῖν καὶ τὰ κρείσσονα. τὰ τοιαῦτα οὖν καὶ ἐν ἡμῖν παρηκολούθησε. τὰ γὰρ χείρονα καταλαβόμενοι καὶ τῶν κρεισσόνων περιγενέσθαι σπουδάζομεν. ἀλλ' εἰ καὶ ὡς ἀνηλίκων ἡμῶν καταφρονεῖς, ὑπὲρ τὸν ἀδάμ⟨αντά⟩ σοι ἐπελεύσομαι. καὶ μηδαμῶς σοι περὶ τούτου φροντίς, θαρρῶν γὰρ τῇ προνοίᾳ ἐλεύσομαι ἐπὶ σὲ καὶ κύριος τῶν σῶν γενήσομαι κἂν μὴ δοκῇ σοι. καὶ οὐχ ὑποστήσῃ τὰ ἴχνη τῶν ποδῶν μου καὶ ἔμπροσθεν παίδων Μακεδονικῶν ἐξουδενώσω σε.

(5) Δεξάμενος οὖν Δαρεῖος τὴν ἐπιστολὴν Ἀλεξάνδρου καὶ ἀναγνοὺς προσέταξε τοὺς ὑπ' αὐτὸν πάντας βασιλεῖς τε καὶ τοπάρχας, ἄρχοντας τε καὶ σατράπας πάντας ὑφ' ἓν ἐπισυναχθῆναι. καὶ δὴ πάντων ἐπισυναχθέντων ἐπισκέπτεται τούτους Δαρεῖος καὶ εὗρεν ἄνδρας ἱππεῖς τεθωρακισμένους ἐκλεκτοὺς δισχιλίας χιλιάδας καὶ ὁπλίτας πεζοὺς χιλιάδας ἑκατόν. καὶ ἀναλαβὼν αὐτοὺς πάντας ὥρμησε κατὰ Ἀλεξάνδρου.

---

1 τῶν χειρόνων ἐφιέμενος Q: τοῖς χείροσιν περιγενόμενος γ **2** κρείσσονα Q: -ττ- γ **3** τὰ γὰρ χείρονα Q: τοῖς γὰρ χείροσιν γ **4** τῶν κρεισσόνων Q: τοῖς κρείττοσιν γ **5** ἀνηλίκων ἡμῶν Q: ἀνήλικους ἡμᾶς γ | ἀδάμαντα scripsi: ἀδάμ Q: ἀδάμαν R: ἀδάμαντα (-τινον D) λίθον DC: ὡσὰν τὸ λιθάρι τὸ ἀδαμάντινον ἀκονητόν Mgr **9–10** ἐξουδενώσω σε Q: ἐξουδενω (vel -νη-)θῇς ut vid. γ

ε 15,5 etiam in γ I 41 **11–12** δεξάμενος – ἀναγνοὺς Q: καὶ παρευθὺς γ **12** προσέταξε Q: προστάσσει γ **12–13** τε ... τε γ: om. Q **14** ἐπισκέπτεται γ: ἐπισκέπτει Q **15** ἐκλεκτοὺς Q: ἐπιλέκτους γ **16** δισχιλίας χιλιάδας Q: χιλιάδας ὀκτακοσίας γ | ὁπλίτας Q: om. γ | ἑκατόν Q: τριακοσίας γ **17** ἀναλαβὼν Q: ἀναλαβόμενος γ | ὥρμησε κατὰ Ἀλεξάνδρου Q: γ rursus rec. β sequitur

(6) Ἀλέξανδρος δὲ ⟨δι⟩ ελθὼν τὸν Εὐφράτην ἐκέλευσε τὴν γέφυρα καταστραφῆναι ... Μή τι Δαρεῖος ἡμᾶς ἐκθροήσῃ, καὶ ὦ ὑμεῖς λύκοι καὶ λέοντες, πρόβατα καὶ ἄρνες θροοῦσιν ὑμᾶς;— ἐπὶ τούτοις Ἀλέξανδρος θαρσηροὺς εἶναι Μακεδόνας ἐποίησεν καὶ προθύμως ἔχειν τῇ πρὸς Δαρείῳ συμβολῇ.

(7) Πλησίον δὲ γενομένων ἀμφοτέρων ὡς χωρίζεσθαι ἀπ' ἀλλήλων ὁδὸν ἡμέρας μιᾶς ὁ φρενήρης Ἀλέξανδρος κελεύει πάντα λαὸν {ἐπισυναχθῆναι}, ξηρὰ δὲ δέρματα βοῶν ἐπισυναχθῆναι καὶ φορβάδας ἀγρίους καὶ δεθῆναι τοῖς τραχήλοις αὐτῶν. ὁπόταν δὲ πλησίον γένοιντο τοῦ φοσσάτου, ἀθρόως †αὐτῶν† ἐπ' αὐτῷ καταδραμοῦσιν. τοῦτο δὲ ἐκ τεσσάρων ἐποίησε καὶ κατὰ τοῦ φοσσάτου αὐτῶν κατατρέχουσιν ἄφνω καὶ κρότον ἐμποιοῦσι καὶ θόρυβος γίνεται καὶ φόβος τοὺς Πέρσας καταλαμβάνει. καὶ ἀναβοῶσι γύρωθεν Μακεδόνες καὶ σαλπίζει Ἀλέξανδρος καὶ φυγὰς ᾤχοντο Πέρσαι καὶ προκατελάβοντο Μακεδόνες καὶ πλήθη ἄπειρα κατασφάττουσι καὶ οὐχ ὑπελείφθη ἐξ αὐτῶν πλὴν Δαρεῖος καὶ μετ' αὐτοῦ ἱππεῖς ἑκατόν. τὰ δὲ λοιπὰ πλήθη ἀνεῖλον Μακεδόνες καὶ οὐκέτι βαστάσαι ἴσχυον τὰ Περσικὰ σκῦλα. ἐπὶ τούτοις δὲ θρασύνονται καὶ γαυρίαμα μέγα ἦν αὐτοῖς καὶ οὐκέτι εἶχον φροντίδα περὶ πλήθους λαῶν.

ε 15, 6—7 om. γ **1** *διελθὼν* suppl.: *ἐλθὼν* Q **2** post *καταστραφῆναι* lacunam statui: cf. *καὶ οἱ Μακεδόνες ἐχολομάνησαν πῶς τὰ ἐχάλασεν. ὁ Ἀλέξανδρος εἶπεν· ὦ ἀνδρειωμένοι μου στρατιῶται* Mgr (J) **6** *ἀμφοτέρων* corr. e *ἀμφότεροι* Q **8** *ἐπισυναχθῆναι* delevi **11** *αὐτῶν* Q: *εἶπεν* fortasse scribendum

16

(1) Δαρεῖος δὲ μετὰ τὴν ἧτταν ἀπέρχεται ἐν Περσίδα καὶ πλήθη λαῶν ἐπισυνάγει ἀμέτρητα καὶ τῷ Ἀλεξάνδρῳ ἐπέρχεται.

(2) Φαίνεται δὲ τῷ Ἀλεξάνδρῳ καθ' ὕπνους Ἄμμων καὶ Φινεές· Ἄπελθε τέκνον Ἀλέξανδρε, σκόπησον Δαρεῖον σὺ αὐτοῦ γενόμενος ἄγγελος. γνώσεταί σε Δαρεῖος, ἐγὼ δὲ ἐπιστὰς τῶν ἐκεῖσε ἁρπάσω καὶ πρὸς Μακεδόνας διασῴζω. φόβος δὲ αὐτοῖς οὐ μικρὸς καταλάβῃ, ὡς δέ σε ἐπερχόμενον βλέψουσιν εὐθέως τραπήσονται.

(3) Διαναστὰς οὖν Ἀλέξανδρος οὐδενὶ διηγεῖται τὸ ὅραμα ἀλλ' ἢ μόνον εἶπεν ἄγγελον αὐτὸν ἀπελθεῖν πρὸς Δαρεῖον. λαβὼν δὲ μεθ' ἑαυτοῦ ἱππεῖς ὀκτὼ ἔρχεται πρὸς Ἀρσινόην ποταμὸν ἔχων μεθ' ἑαυτοῦ πώλους. τὰς δὲ μητέρας τῶν πώλων ἦσαν ἐποχούμενοι. ἐκεῖσε δὲ καταλιπὼν τοὺς πώλους λαβὼν μεθ' ἑαυτοῦ δύο ἱππεῖς ἔρχεται πρὸς Δαρεῖον δερματίνην ἠμφιεσμένος στολὴν καὶ κάλυμμα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καθὼς Ἄμμων ἐφάνη αὐτῷ κέρατα ἔχων.

ϵ 16, 1–4 Q: nonnulla etiam in γ II 13–14

4–5 Αμμὼν καὶ Φινεές Q: εἰς αὐτὴν τὴν νύκταν εἶδεν ὄνειρον ὁ Ἀλέξανδρος τὸν προφήτην Ἱερεμίαν καὶ εἶπεν Mgr: ὁρᾶ (καθ' ὕπνους add. β) τὸν Ἄμμωνα ἐν σχήματι Ἑρμοῦ αβ **6** σὺ αὐτοῦ Q: σὺ οὖν ἑαυτοῦ β: σεαυτῷ A **10–11** οὐδενὶ – Δαρεῖον habet γ in fine II 13 **10** διηγεῖται Q: διηγήσατο γ | ὅραμα QD: ὄνειρον RC **11** ἀπελθεῖν πρὸς Δαρεῖον Q: inv. in γ **12** Ἀρσινόην scripsi: ἀρσιώτα Q: alio loco Ἀρσινόην Q γ Mgr: arsinoiskoj Slav: ποταμὸς τῆς Ἀρμενίας Phyll: Ἀρσανίαν Ausfeld: Στράγγαν αβ **17** τὸ σχῆμα, ὅπερ εἶδεν κατὰ τοὺς ὕπνους (φοροῦντα τὸν Ἄμμωνα add. Arm β) i. e. ἔχοντα κηρύκιον καὶ χλαμύδα καὶ Μακεδονικὸν πιλίον αβ

(4) *Δαρεῖος δὲ ἦν καθήμενος ἐπί τινος ὑψηλοτάτου δίφρου, χρύσεα δὲ ἀγγελίδια ἐπάνωθεν αὐτοῦ ἵπτατο, ἕτερα δὲ περὶ τοὺς πόδας αὐτοῦ. καὶ κύκλῳ αὐτοῦ λυχνίαι περιήστραπτον καὶ οὕτως ἦν Δαρεῖος οἷα θεὸς καθεζόμενος. ὡς δὲ εἶδεν* Ἀλέξανδρος *μικρόν τι ἐδεδίει ἀλλ' οὖν πάλιν ἀνέθορε τοῦ φόβου. Δαρεῖος δὲ ἀνιδὼν καὶ μαθὼν τίνος χάριν ἧκεν αὐτὸς ἀπεκρίνατο·* Παρὰ Ἀλεξάνδρου *ἀπέσταλμαι, ὅς περὶ τοῦ πολέμου σοι δηλοῖ· πότε ἂν βούλει τοῦτον ποιήσασθαι, ἵνα δίχα παντὸς τρόπου αὐτὸν ποιησώμεθα. — ἐπὶ τούτοις καὶ Δαρεῖος κατένευσε καί φησι·* Μετὰ *πέντε ἡμέρας γινωσκέτω* Ἀλέξανδρος *τὸν πόλεμον συγκροτεῖν ἡμᾶς. σὺ δὲ παῖς* Ἀλεξάνδρου *μεθ' ἡμῶν συνδίαιτος τῇ νυκτὶ ταύτῃ γενήσει καὶ ταχὺ πρὸς* Ἀλέξανδρον *ἄπιε.*

(5) Καὶ *δὴ τὰ πρὸς δεῖπνον ἐκλήθησαν.* Ἀλέξανδρος *ἦν τοῖς κάτωθεν καθεσθεὶς μέρεσιν ἄντικρυς Δαρείου καὶ πάντα περισκοπῶν. καὶ δὴ* Κανδαύλης *ὁ ποτὲ παρὰ Δαρείου ἀποσταλεὶς ἐν* Μακεδονίᾳ *τοὺς φόρους ζητῶν ἐπιστὰς ἔστη ἄντικρυς* Ἀλε-

---

1 *ἐπὶ — δίφρου* habet *γ* in II 14 p. 176,4 Engelmann | *ὑψηλοτάτου γ*: *-τερου* Q 2—5 *χρύσεα — ἀνέθορε* habet *γ* in II 14 2 *ἵπτατο* Q: *-αντο γ* 3 *τοὺς πόδας* Q: *τοῖς ποσὶν γ* 4 *καὶ οὕτως — καθεζόμενος* Q: om. *γ* qui add. *σκῆπτρα δὲ ἑκατέρωθεν, στίφη δὲ μυριάδας πέριξ αὐτοῦ* e rec. *β* (p. 95,4 Bergson) | *δὲ* Q: *οὖν γ* 5—6 *τοῦ φόβου* Q: *ὑπομιμνησκόμενος τοῦ χρησμοῦ γ*

ε 16,5 initium solo in Q, a voce *ὁ ποτὲ* usque ad finem cap. etiam *γ* II 15

16 *Κανδαύλης ὁ νυκτίχροος* A: eum *βασιλέα Αἰθιόπων* inter convivas Darii memorant etiam Arm Byz P et Zenos v. 1151/2 | *πολλῆς οὖν σιγῆς γενομένης* Παράγης *τι τοὔνομα ὁ ποτὲ* incipit *γ* (cf. *β* p. 97, 7 Bergson) | *ἀποστολεὶς παρὰ Δαρείου* Q: *παρὰ Δ. ἀποσταλεὶς γ* **17** *ζητῶν* Q: *κομίσων γ*

ξάνδρου καί φησιν· Ὦ οἷον ἑώρακα σήμερον. — καὶ προσελθὼν τῷ Δαρείῳ ἔφη· Ἔχω σοί τι καινὸν διηγήσασθαι. — ὁ δὲ Δαρεῖος· Τί; φησιν. Κανδαύλης ἔφη· Ὁ ἄγγελος οὗτος ὁ Μακεδονικὸς αὐτὸς ἐκεῖνός ἐστιν ὁ Φιλιππιάδης Ἀλέξανδρος. — Ἀρζεμβᾶν δὲ τούτῳ ἐπετίμα ὡς οὐκ εἰδότα τὰ λεγόμενα. Ἀλέξανδρος δὲ τοῦτο ἐπιγνοὺς τὸ ἐνθύμιον αὐτῶν καὶ τὸν λόγον στοχασάμενος ἐδόκει ἀναγνωρισθῆναι καὶ διεσκόπει ἐν ἑαυτῷ πῶς ἂν δυνηθῇ τὸν κίνδυνον διεκφυγεῖν. ἐπὶ τούτοις Δαρεῖος κελεύει τοῦ δείπνου ἐξιέναι, τὸν δὲ Ἀλέξανδρον ξενίσασθαι ἐν τῷ ἀφωρισμένῳ αὐτοῦ τόπῳ, τῆς δὲ ἑῴας καταλαβούσης τὰ περὶ αὐτοῦ διερευνηθῆναι. οἱ δὲ Πέρσαι ἀλλήλοις διεψιθύριζον ἐναγώνιοι περὶ Ἀλεξάνδρου γενόμενοι.

(6) Ἀλέξανδρος δὲ ὑποδὺς ἐν τόπῳ τινὶ ἐκδιδύσκεται τὴν δερματίνην στολὴν καὶ τὴν τῆς κεφαλῆς ἐπικάλυψιν καὶ ἔμεινε μεθ' ἣν ἐπεφέρετο Περσικὴν στολὴν καὶ ὡς εἷς τῶν Δαρείου

1–5 verba *καί φησιν* usque ad *τὰ λεγόμενα* habet etiam K qui haec praemittit *καὶ δὴ Παράγης τις τοὔνομα ὁ γενάμενος ἡγεμὼν ἐν τῇ Περσίδι, ᾔδει γὰρ ἀληθῶς τὸν Ἀλέξανδρον κατὰ πρόσωπον* (= β p. 97,8 Bergson) *καί φησι* **1** *καὶ προσελθὼν* Kγ: *προσελθὼν δὲ* Q **3** *τί; φησιν* Kγ: *φῆσαι* Q | *Κανδαύλης* Q: *Παράγης* Kγ **5** *Ἀρζεμβᾶν* K: *Ἀρζέμβαν* Q: *Ἀρζεμβάρ* ut. vid. γ | *δὲ* Kγ: *δὲ ἐπὶ* Q | *ἐπετίμα* Kγ: *ἐπιτιμᾷ* Q **6** *τὸ ἐνθύμιον αὐτῶν* Q: om. γ | post *λόγον* add. *αὐτῶν* γ: om. Q **7** *ἐδόκει* QC: *ἐγνώκει* RD **8** *δυνηθῇ* Q: *δυνηθείη* γ | *διεκφυγεῖν* QC: *διεξελθεῖν* RD **9** *κελεύει* γ: *-ευ* Q **11** *αὐτοῦ* Q: *-τὸν* γ | *διερευνηθῆναι* γ: *-νήθησαν* Q **11–12** *ἀλλήλοις – γενόμενοι*: *πάντες οἱ συνέστιοι Δαρείου ἦσαν οἰνωμένοι σφόδρα* γ e rec. β p. 98,4 sq. Bergson **15** *μεθ' ἣν ... Περσικὴν στολὴν* γ: *μεθ' ἧς ... περισκέλου στολῆς* Q | *τῶν* Q: *τοῦ* γ

ἐφαίνετο. καὶ δὴ διελθὼν τὸ ὅλον φοσσᾶτον Δαρείου παραλαβὼν καὶ τοὺς ἑταίρους αὐτοῦ ἔρχεται πρὸς τὸν φρούραρχον καθεζόμενον ἐν τῇ διεξόδῳ τοῦ φοσσάτου καὶ δᾷδαν κρατοῦντα καὶ διερευνῶντα τοὺς εἰσιόντας καὶ ἐξιόντας καὶ λέγει αὐτῷ· Τὴν δᾷδά μοι πάρεχε, παρὰ Δαρείου γὰρ ἀπέσταλμαι. – ὁ δὲ οὐκ ἐπεδίδου αὐτῷ. Ἀλέξανδρος δὲ τὴν δᾷδαν δραξάμενος κρούει αὐτὸν κατ᾽ ὄψεως καὶ ἀπέσπασεν ἑαυτὸν ἐξ αὐτοῦ καὶ ᾤχετο τὴν ὁδὸν αὐτοῦ. αἱ δὲ ἵπποι τῇ τῶν πώλων στοργῇ ὀξέως ὑπήγοντο.

(7) Δαρεῖος δὲ εἰς ἔννοιαν ἐλθὼν Ἀλεξάνδρου καὶ τὸ πανοῦργον αὐτοῦ ἐν ἑαυτῷ λαβὼν ἕνα τῶν ὑπ᾽ αὐτοῦ ἔφη· Κρατήσατε τόνδε τὸν παῖδα καὶ ἀσφαλίσασθε, μήπως Ἀλέξανδρος ὢν πανουργευσάμενος ἡμᾶς φύγῃ καὶ οὐκέτι ἐστὶν ἡμῖν ἐλπὶς σωτηρίας. – ἤρξαντο δὲ ἐπιζητεῖν Ἀλέξανδρον καὶ οὐχ εὑρίσκετο. καὶ τρέχουσιν ἐν τῷ ξενίῳ αὐτοῦ καὶ οὐχ εὗρον οὐδένα. καὶ θορύβου γενομένου ἔρχονται πρὸς τὸν φρούραρχον ἐρωτῶντες καὶ Ὦ ὑμεῖς, εἶπεν, Ἀλέξανδρος ἡμᾶς ἔπαιξε καὶ

---

1 ἐφαίνετο Q: ἐνομίζετο γ | δὴ γ: om. Q | διελθὼν Q: διελθόντι γ: ἐξελθὼν C | τὸ ὅλον φοσσᾶτον Q: ὅλον τὸν ἐκεῖσε λαὸν γ 1–2 παραλαβὼν – αὐτοῦ Q: om. γ 2 φρούραρχον D: -άρχην RC: φρουνάρχον Q 3 δᾷδαν κρατοῦντα γ: διακρατοῦντα Q 5 δᾷδα Q: -αν γ | post ἀπέσταλμαι add. ἔν τινι δουλείᾳ γ: om. Q 6 ἐπεδίδου Q: ἐδίδου γ 7 κατ᾽ Q: κατὰ τῆς γ | ἑαυτὸν γ: αὐτὴν Q 8–9 ᾤχετο – ὑπήγοντο Q: καὶ πλανήσας πάντας ἐπιβὰς ὀξέως τῷ πώλῳ αὐτοῦ ἥλατο ἔχων ἐν τοῖς κόλποις ἑαυτοῦ καὶ τοὺς χρυσοὺς σκύφους γ e rec. β p. 98,7 sq. Bergson 10 ἐλθὼν γ: om. Q 10–11 τὸ πανοῦργον γ: τῷ πανούργῳ Q 11 ἐν ἑαυτῷ γ: om. Q | ἕνα τῶν γ: ἐν τοῖς Q: ἑνὶ τοῖς fortasse scribendum 14 ἤρξαντο γ: ἦρξαν Q 15 εὑρίσκετο καὶ γ: εὗρον Q | ἔρχονται Q: τρέχουσιν γ | φρόυραρχον D: φρουνάρχον Q: φρουράρχην RC 17 καὶ Q: ὁ δὲ φρούραρχος γ | εἶπεν γ: εἴπατε Q

βλέπετε αὐτὸν ἀπιόντα. σπουδάσατε, καταλάβετε, τὴν γὰρ δᾷδα ἐκ τῆς χειρός μου ἁρπάξας καὶ κατὰ τῆς ὄψεώς με τύψας ἀπῄει. ἰδοὺ βλέπετε αὐτόν.

(8) Καταδιώκουσι δὲ αὐτὸν ὀπίσω ὡσεὶ πεντήκοντα καὶ αὐτὸς ἔμπροσθεν αὐτῶν δᾳδουχῶν ᾤχετο εἰς Ἀρσινόην, αὐτὸς δὲ πλήρης ἦν πάγους. καὶ δὴ οἱ μετὰ Ἀλεξάνδρου ἐκπεράσαντες, Ἀλέξανδρος ἐκ τῶν ὄπισθεν ἐλθὼν καὶ τῷ ῥοΐ τοῦ ποταμοῦ ἐπιβὰς τὸ κρύος ἐκ τῶν ὀπίσω αὐτοῦ διελύετο. τὴν δὲ πέραθε πλησιάσας γῆν ἅπαν διελύθη τὸ κρύος μικροῦ δή που καὶ Ἀλέξανδρον κατασχεῖν. γνοὺς δὲ τὴν τοῦ κρύους σύμπτωσιν, ὡς ἡ ἵππος αὐτοῦ ἤρξατο χαλᾶν, εὐθέως ἀνίστατο ὄρθιος ἐν τῇ ἕδρᾳ καὶ πρὸς τὴν γῆν ἐξεπήδησεν. ἡ δὲ ἵππος τοῖς ὕδασι συσχεθεῖσα ἀπώλετο. τοιαύτην γὰρ φύσιν ὁ ποταμὸς εἶχεν ὥστε αὐτὸν καὶ ἄφνω παγοῦσθαι καὶ ἄφνω διαλύεσθαι, ὀξύτατος γὰρ ἦν ὑπὲρ Χελεντρίου τοῦ ἐν Μήδοις τῷ ῥεύματι. ὁπόταν γὰρ τὸ κρύος ἐπήρχετο εὐθέως τῷ παγετῷ ἐπήγνυτο, νότου δὲ πάλιν ἐρχομένου ταχέως τὰ ῥεύματα τὸ χλιαρὸν κατελάμβανε καὶ παραχρῆμα διελύετο. ἔρχονται οὖν οἱ ἐπιδιώκοντες καὶ τὸν μὲν ποταμὸν ἀπέραντον εὕροσαν, Ἀλέξανδρον δὲ ἐκπεράσαντα βλέπουσι καὶ τῷ δέει †ἀποτελοῦνται†

---

1 σπουδάσατε οὖν καὶ γ | καταλάβετε αὐτόν γ 1–2 δᾷδα Q: -αν γ 2 ἁρπάξας Q: -σας γ | με Q: μου γ 3–8 ἰδοὺ — ἐπιβὰς Q: om. γ 8 τὸ κρύος γ: τῷ κρύει Q 8–9 τὴν δὲ — τὸ κρύος Q: om. γ 11 ἡ scripsi: ὁ Q γ | εὐθέως Q: -ὺς γ | ἀνίστατο Q: ἔστη γ | ἡ Q: ὁ γ 13 συσχεθεῖσα Q: -θεὶς γ 15 ὀξύτατος γ: -τον Q | χελε(ν)τρίου τοῦ ἐν μήλοις γ: χελοτριὸν τὸ ἐν μύλῳ Q: Μήδοις corr. P. Wirth, sed nomen torrentis in Media (Atropatene), ubi vero fluvii ὀξύτατοι, alio loco reperire non potui. 16 τὸ κρύος Q γ: ὁ βορρέας Müller 17 νότου ... ἐρχομένου Q: νότος ... ἐρχόμενος γ 17–18 τὸ χλιαρὸν Q: ἡ θέρμη γ 20 τῷ δέει ἀποτελοῦνται Q: ἀθρόως ἐξεπλάγησαν διαπορoῦντες coni. γ

τὴν τοῦ ποταμοῦ διάβασιν. ἐγγίσας δὲ πρὸς αὐτοὺς Ἀλέξανδρος εἶπεν· Ὦ ἄνδρες, τί ἑστήκατε διαπορούμενοι; εἰ πρὸς Μακεδόνας Δαρεῖος ὑμᾶς συνήθροισε μαχεύσασθαι τοῦδε τοῦ ποταμοῦ ἐδεδίειτε τὸ ῥεῖθρον τοῦ ῥεύματος; εἰ ὅλως τοῦτο φοβεῖ ὑμᾶς μηδαμῶς Μακεδόνας μάχεσθαι κατατολμήσητε. ἐν γὰρ τῷ ῥεύματι τούτῳ ἡμεῖς διεπεράσαμεν, ὑμῖν δὲ τὸ περᾶσαι ἀδύνατον. λοιπὸν ἄπιτε, Δαρείῳ εἴπατε· Ἀλέξανδρος Ἀρσινόου τοῖς ῥεύμασιν ἐπιβὰς διεπέρασε καὶ πρὸς τὸ Μακεδονικὸν διασέσωσται στῖφος.

(9) Ταῦτα ἀκούσαντες Πέρσαι εἰς παντελῆ δειλίαν ἐμπίπτουσι καὶ πρὸς Δαρεῖον ἀντιστραφέντες τὰ περὶ Ἀλεξάνδρου διηγοῦνται. ἐν ἀμηχανίᾳ οὖν γενόμενος Δαρεῖος τόδε προσεφθέγξατο· Ὦ οἷον γαυρίαμα παιδίου Μακεδόνος, ὅς οὐκ ἐφείσατο τῆς σωτηρίας αὐτοῦ ἀλλ' ἔθετο ἀποθανεῖν ἢ τὴν ἡμῶν κατασκοπῆσαι δύναμιν. – ἐπὶ τούτῳ δειλία τοῖς Πέρσαις ἐπέπεσε καὶ εἶπεν ἕκαστος τῷ πλησίῳ· Τίς δυνήσεται μετὰ Ἀλεξάνδρου μαχεύσασθαι; τίς δὲ δύνεται τοιούτου ἀντιπαρατάξασθαι στρατοῦ; ἦγεν ἡμᾶς Δαρεῖος Μακεδονικὸν γενέσθαι πρόσκομμα. φύγωμεν δὴ ἀπ' αὐτοῦ, οὐ γάρ ἐστιν ἡμῖν ἐλπὶς νίκης.

---

3 μαχεύσασθαι Q: μαχήσ. R: μαχέσ. D: μάχεσθαι C 3–4 τοῦδε τοῦ ποταμοῦ Q: τῷδε τῷ ποταμῷ γ 5 Μακεδόνας Q: Μακεδόσι γ 7 Δαρείῳ εἴπατε Q: καὶ εἴπατε Δαρείῳ γ 10 Πέρσαι γ: om. Q 11 ἀντιστραφέντες QC: ἐπι- RD 12 γενόμενος Δαρεῖος τόδε προσεφθέγξατο e C sumpsi: γενομένου Δαρείου καὶ τόδε προσφθεγξαμένου Q γ 13 post οἷον add. ἔφη γ: om. QC | παιδίου γ: -ον Q 15 τούτῳ QC: -τοις γ 16 πλησίῳ Q: πλησίον γ 16–17 μαχευσ. Q: μαχησ. R: μαχέσ. D: om. C 17 τίς δὲ δύνεται τοιούτου ἀντιπαρατάξεται στρατ(οῦ) Q: τίς πρὸς τοιοῦτον ἀντιπαρατάξεται στρατόν γ: ἀντιπαρατάξασθαι corr. 18 ἦγεν Q: ἧκεν εἰς R: θέλων (et deinde ποιῆσαι pro γενέσθαι) D: ἦγεν – πρόσκομμα om. C: ἤθελεν Engelmann

17

(1) Μεταξὺ δὲ τούτων ἐπινοεῖ τάδε Ἀλέξανδρος· ἀγαγὼν πάντα τὰ πρόβατα καὶ τοὺς βόας ὅσα ἐν τῷ φοσσάτῳ ἐρευνήσας εὗρεν — ἦσαν δὲ πρόβατα χιλιάδες τετρακισχιλίαι καὶ ... — διίστησιν αὐτὰ εἰς συντάξεις, καὶ τὰ μὲν πρόβατα εἰς τύπον πεζῶν, τοὺς δὲ βόας εἰς τύπον ἱππέων. κελεύει δὲ τοῖς κέρασιν ἐπιθεῖναι λαμπάδας καὶ διεῖλεν αὐτοὺς εἰς συντάξεις πέντε, κατὰ δὲ μίαν ἄνδρας χιλιάδας ἑβδομήκοντα ἱστᾷ βοὰς καὶ ταραχὰς ἐμποιεῖν καὶ τὰ κτήνη ὁδηγεῖν. καὶ ταῦτα κατὰ Περσῶν ὁρμῆσαι παρεκελεύσατο βαθείας οὔσης νυκτός, αὐτὸς δὲ τὰ στρατόπεδα μεθ' ἑαυτοῦ λαβὼν ἀπέρχεται κατ' αὐτὴν ⟨τὴν⟩ ὁδὸν ἐν ᾗ Πέρσαι φεύγειν βούλονται. καὶ εἰ μὲν πρὸς πόλεμον ὁπλισθῶσιν ἀντιπαρατάξασθαι τῷ ἐνέδρῳ αὐτοῦ, ἐκ τῶν ὄπισθε τούτοις εὐχερῶς ἐπελθὼν τροπώσεται, εἰ δὲ καὶ πρὸς φυγὴν ὁρμήσουσι τὸ ἄπειρον τοῦ πλήθους τῶν φερομένων λαμπάδων δειλιάσαντες, αὐτὸς ἐκ τῶν ἔμπροσθεν αὐτοῖς ἐπελεύσεται ἀνελπίστως, καὶ δίχα παντὸς πολέμου ἐγκρατεῖς αὐτῶν γενήσονται. προστάξας τοῖς ἐν ταῖς λαμπάσι καὶ τοῖς κατὰ τὸ ἔνεδρον τάδε· Ὡσὰν ἀκούσητε φωνῆς καὶ σαλπίγγων καὶ βοὰς ἀνδρῶν, τὰς λαμπάδας τῶν κτηνῶν καταλείψαντες ταχέως τῷ πολέμῳ ἐπιφθάσατε πάντες καὶ σάλπιγξιν ἐπιβοήσατε ἐν σάλπιγγος ἤχῳ.

(2) Τούτου δὲ γενομένου καὶ σχεδὸν πᾶσα ἡ γῆ κινηθῆναι

ε 17, 1–2 solo in Q, neque enim narratio in Mgr

3 χιλιάδες correxi: -δαι Q | lacunam statui, numerus bovium excid. videtur 6 αὐτοὺς corr.: -τὸν Q 10 τὴν add. 18 φωνῆς καὶ σαλπίγγων Q: φωνὰς σαλπίγγων melius 20 σάλπιξιν Q

δοκωμένη ἀπὸ τοῦ πλήθους τῶν λαμπάδων καὶ τῶν φωνῶν τῶν σαλπίγγων. δειλία τοῖς Πέρσαις ἐπέπεσεν, ἕκαστος δὲ τῷ ἑτέρῳ ἔφη· Τίς ὑποστήσεται ἀπὸ τοῦ πλήθους τῶν τολμηρῶν Μακεδόνων; φύγωμεν δὴ ἀπ' αὐτῶν πρὸ τοῦ τὰς διαβάσεις ἡμῶν καταλαβεῖν καὶ οὐ μὴ ἀπολειφθῇ ἐξ ἡμῶν οὐδὲ εἷς. — καὶ δὴ τρέπονται εἰς φυγὴν πάντες καὶ καταρρεῖ τὸ πλῆθος καὶ συνωθοῦσιν ἀλλήλοις. ἐν ᾧ γὰρ τρόπῳ ἤλπιζον σώζεσθαι ἐκεῖ ἀπολοῦνται. καθυπαντᾷ δὲ τούτοις Ἀλέξανδρος καὶ βοῶσι Μακεδόνες καὶ ἀθρόως ἐπεισέρχονται Πέρσαις καὶ λοιπὸν οὐδὲν αὐτοῖς ἦν τὸ προσδοκώμενον εἰ μὴ μόνος ὁ θάνατος· πρὸ γὰρ τοῦ καταλαβεῖν αὐτοὺς τὸ δόρυ ἡ ψυχὴ αὐτομάτως ἐξῄει. καὶ ἦν ἰδεῖν ἀνθρώπους οὐχ ὡς ἀνθρώπους ἀλλ' ὡσεὶ πρόβατα ἱσταμένους, ὧδε κἀκεῖσε περισκοποῦντες ὅθεν ἐπ' αὐτοὺς ὁ θάνατος ἐπελεύσεται.

(3) Φωναὶ δὲ αὐτῶν ἱκετηρίαι πρὸς Ἀλέξανδρον ἦσαν· Ἵλεως ἵλεως ἔσο ἡμῖν, ὦ Διὸς παῖ, μὴ εἰς τέλος καταφάγηται ἡμᾶς ἡ ῥομφαία σου σπλαγχνίσθητι ἐφ' ἡμᾶς καὶ μὴ δίκην κτηνῶν ἀπολέσῃς, ἀρκέσθητι τοῖς Περσικοῖς αἵμασι τοῖς μέχρι τοῦ νῦν δίκην ὑδάτων ἐκχυθεῖσι, τὸ ὁμοιοπαθὲς ἡμῶν πρὸς οἶκτον καθικετεύσῃ σε. — ἐν τούτοις Ἀλέξανδρος ἐλεήσας αὐτοὺς μηκέτι σφάζειν αὐτοὺς τοῖς Μακεδόσι προσέταξεν, ὅμως δὲ τούτους ἐπισυνάξας ἀπέλυσεν εἰπών· Φεύγετε πρὶν ἢ τὸ πλῆθος ὑμᾶς καταλάβῃ καὶ οὐ δυνήσομαι ὑμᾶς ἐξ αὐτῶν διασῶσαι. — αὐτῶν δὲ ταῦτα παρὰ Ἀλεξάνδρου ἀκουσάντων πεσόντες οἷα θεῷ προσκυνοῦσιν αὐτῷ καὶ φεύγουσιν ἀνυποστρέ-

---

12 οὐχ ὡς scripsi: ὡς οὐκ Q

ε 17,3 etiam in γ II 16 p. 190 Engelmann

15 φωναὶ — ἦσαν Q: om. γ 17 σπλαγχνίσθητι γ: — θεὶς Q 18 ἀπολέσῃς Q: -σειας γ 19–20 τὸ ὁμοιοπαθὲς — σε Q: om. γ 20 ἐν τούτοις Q: ὁ δὲ γ 22 τούτους γ: -τοις Q 24–25 πεσόντες Q: om. γ 25 θεῷ ... αὐτῷ Q: θεὸν ... αὐτὸν γ

πτως καθόλου τοῖς ὄπισθε μὴ τολμῶντες περιστρέφεσθαι.

(4) Δαρεῖος δὲ μετ' ὀλίγων ἱππέων φυγὼν διασώζεται καὶ γράψας ἐπιστολὴν πρὸς Πῶρον τὸν τῶν Ἰνδῶν βασιλέα, ὅς ἦν αὐτῷ προσφιλής, περιέχουσαν τάδε·

Τῷ ἐν θεοῖς θεῷ μεγάλῳ βασιλεῖ Πώρῳ Δαρεῖος ὁ δυστυχὴς χαίρειν. Τὰ περὶ τῶν ἡμετέρων δυστυχημάτων καὶ γράφειν ἀδύνατον. οἶμαι δέ σε τὸν ἐμὸν δεσπότην ἀκηκοέναι τῶν πολλῶν ὀλίγα, ὡς παῖς εἰς ἡμᾶς Μακεδονικὸς ἐπιβὰς λῃστρικῶς καταναγκάζει μετανάστας τῶν οἰκείων γενέσθαι. τὴν δουλικὴν ἠθετικὼς τύχην δεσποτικῶς ἡμῖν σπουδάζει διατεθῆναι καὶ τὴν τῆς ἑῴας ἀρχὴν ταῖς δυσμαῖς παραπέμψαι. τοῦτον Πέρσαι δεδιότες οὐκ οἶδ' ὅπως ἀντιστῆναι τῇ μάχῃ οὐ δύνανται. δυσὶ γὰρ ἡττήμεθα πολέμοις παρὰ μηδενὸς βοηθούμενοι. ἐπὶ τούτοις δέομαι τῆς σῆς μεγαλειότητος μὴ ἀνέχεσθαι ταῦτα, ἀλλὰ χεῖρα βοηθείας ἐξαποστεῖλαι Δαρείῳ τῷ δούλῳ σου, ἔτι δὲ καὶ τοῦτο· ἅπαξ ὑπεξελθεῖν με τοῖς Μακεδόσιν εἰς πόλεμον, ἵνα γνῶσι κατὰ θεῶν μὴ ὁπλίζεσθαι. ἐπίσταμαι γὰρ ἀκαταμάχητον εἶναι τὸ τῶν Ἰνδῶν στῖφος ὡς καί σε ἴσα θεοῖς ὄντα πάντα τὰ δοκούμενα δυνατά. ἐπικάμφθητι δή μου τοῖς γράμμασι καὶ τὴν ἐκ ψυχῆς αἴτησιν πλήρωσον καὶ τοὺς κατεπείγοντάς με Μακεδό-

---

1 ὄπισθε Q: -θεν γ | περιστρέφεσθαι Q: ὑπο- γ

ε 17,4 initium solo in Q, epistolam inseruit γ in cap. II 11 7 γράφειν γ: γράψας Q | σε τὸν ἐμὸν δεσπότην γ: σοι τῷ ἐμῷ δεσπότῃ Q 8 εἰς γ: om. Q 9 μετανάστας γ: μετανάστον Q 10 ἡμῖν Q: ἡμᾶς γ 11 ταῖς δυσμαῖς γ: δυσμῶν Q 14 βοηθούμενοι scripsi: πολεμούμενοι Q: δυσὶ – πολεμ. om. γ | τούτοις Q: -τῳ γ 15 ἀνέχεσθαι γ: ἀναθέσθαι Q 16–17 ὑπεξελθεῖν με Q: ὑπεξέλθῃ μοι γ 19–20 ὡς καὶ – δυνατά Q: om. γ 21 με γ: om. Q

νας ἀμύνασθαι θέλησον. σπλαγχνίσθητι τοῖς ἐμοῖς δυστυχήμασιν. ἔρρωσον.

(5) Δεξάμενος οὖν Πῶρος τὴν ἐπιστολὴν Δαρείου καὶ ἀναγνοὺς τὴν κεφαλὴν κατασείσας ἔφη· Ὁ τύχῃ ποτὲ μὲν καὶ Δαρεῖος ἴσα θεοῖς τανῦν δὲ ὑπὸ Μακεδόνων ἐλαύνεται. – προσκαλεσάμενος δὲ τοὺς ὑπ' αὐτὸν στρατηγοὺς καὶ τοὺς τοπάρχας φησί· Λαβόντες μεθ' ἑαυτῶν πεντακισχιλίας χιλιάδας ἀνδρῶν ἱππέων ἄπιτε τῷ Δαρείῳ εἰς συμμαχίαν. ἐπὰν δὲ Ἀλέξανδρον καταλάβοιτε ἐγκρατεῖς Μακεδόνων γενόμενοι, τοῦτον ζῶντα πρός μὲ ἀγάγετε ὅπως ἴδοιμι αὐτόν. ἔφεσις γάρ μοί ἐστι τοιοῦτον θεάσασθαι παῖδα.

(6) Ἀπάραντες δὲ τῶν ἐκεῖσε μετὰ σπουδῆς πρὸς Δαρεῖον τὴν ὁδοιπορίαν ἐποιοῦντο. μαθὼν δὲ τὴν τῶν Ἰνδῶν ἔλευσιν Δαρεῖος ὀλίγον τι ἀνέθορε καὶ πρὸς ἐλπίδα ἦλθε. καὶ προστάσσει συντόμως ἐπισυναχθῆναι τὸ καταλειφθὲν ὑπὸ Ἀλεξάνδρου Περσικὸν πλῆθος. εὑρέθησαν δὲ χιλιάδες χίλιαι, αἱ μὲν ὀκτακόσιοι ἱππέων, αἱ δὲ διακόσιοι πεζῶν. καὶ δὴ τῶν Ἰνδῶν ἐν Περσίδα φθασάντων καὶ τῶν ἀμφοτέρων λαῶν εἰς ἑνότητα γενομένων καὶ εἰς πλήθη ἄπειρα γεγονότα ὥρμησαν κατὰ Ἀλεξάνδρου.

(7) Οἱ δὲ τῶν Ἰνδῶν στρατηγοὶ ἀποστέλλουσί ⟨τινας⟩ κατασκοπεῦσαι Ἀλέξανδρον, οἵτινες παρὰ τῶν ἔξω βιγλῶν ἐκρατήθησαν. καὶ δῆλα περὶ αὐτῶν ποιοῦσι τῷ Ἀλεξάνδρῳ. πρὸς

---

1 τοῖς Q: ἐπὶ τοῖς γ

ε 17,5 = init. γ II 12 3 οὖν Q: δὲ γ 4 καὶ Q: om. γ 4–5 Δαρεῖος ἴσα θεοῖς Q: inv. in γ 5 τανῦν δὲ Q: νῦν γ 6 τοὺς Q: om. γ 7 πεντακισχιλίας Q: πεντήκοντα γ: τέσσαρες βολὲς χίλιες χιλιάδες Mgr

ε 17, 6–7 Q et Mgr 16 χιλιάδες corr.: -δαι Q 17 Ἰνδῶν correxi: ἰδὼν Q 18 λαῶν scripsi: λαβὼν Q 21 τινας addidi

ταῦτα Ἀλέξανδρος ἔφη· Τοὺς μὲν κατασκόπους μηδὲν ἀδικήσητε, μετὰ δὲ τὸ ἐπιφαῦσαι τὸν ἥλιον ἕωθεν ἐγὼ τῶν ὧδε ἀπαίρω πρὸς Δαρεῖον τὴν ἔλευσιν ποιούμενος. ὑμεῖς δὲ τοῖς κατασκόποις τὰς φάλαγγας ἐπιδείξατε μήκοθεν εἰπόντες· Ἰδοὺ καὶ τὸ Μακεδονικὸν ληστήριον τὴν ἐπέλευσιν κατὰ Δαρείου ποιεῖται. ταῦτα αὐτοῖς εἰπόντες ἀποστείλατε, παραγγείλαντες μηκέτι κρατηθῆναι καὶ θάνατος αὐτοῖς ἀπειλεῖ. τὴν δὲ νύκταν ἐκείνην προστάσσει Ἀλέξανδρος κλάδους ἐνεχθῆναι καὶ δεθῆναι ἐν ταῖς οὐραῖς τῶν προβάτων καὶ βοῶν ἀλόγων. καὶ δὴ τούτου γενομένου προστάσσει εἰς τρία στόματα μερισθῆναι τὰ πλήθη καὶ καθ' ἕνα περικυκλοῦσθαι ἄνδρας ὁπλίτας. ὡς δὲ καὶ τοῦτο αὔθωρον γέγονεν ἀποκινοῦσιν αἱ φάλαγγες καὶ τὴν γῆν σχεδὸν ἀπεκάλυψαν. καὶ δὴ κονιορτὸς ἐκτινάσσεται καὶ μέχρι Ὀλύμπου, ὥστε τὸν ἥλιον μηκέτι φαίνεσθαι ὡσεὶ πορείας ἡμερῶν τριῶν. οἱ δὲ τὴν φάλαγγα φυλάσσοντες Μακεδόνες φασὶ τοῖς κατασκόποις· Ἰδοὺ καὶ τὸ Μακεδονικὸν ληστήριον· εἰ οὐκ αὔταρκες τῷ Ἰνδικῷ καὶ Περσικῷ μάχεσθαι στρατοπέδῳ, ἰδοὺ τὰς φάλαγγας ἡμῶν βλέπετε. πορεύεσθε πρὸς τοὺς στρατηγοὺς ὑμῶν καὶ ὅσα εἴδατε εἴπατε. ἡμεῖς πρὸς Ἀλέξανδρον ἀπολογισόμεθα ἀποδράσαντας ὑμᾶς ἡμῶν ῥᾳθυμησάντων, καὶ ὑμεῖς τὰ τῆς σωτηρίας ὑμῶν φροντίσατε ἐκφυγεῖν τὸν θυμὸν Ἀλεξάνδρου. — οἱ δὲ κατάσκοποι πεσόντες προσκυνοῦσιν Ἀντίοχον, ὡς παρ' αὐτοῦ τὸ ζῆν αὐτοῖς ἐχαρίσθη, ἐπιδόντες αὐτῷ καὶ ὃ ἐπεφέροντο χρυσίον. ἐλευθερωθέντες δὲ τὸ δοκεῖν ὑπὸ Ἀντιόχου μετὰ σπουδῆς ᾤχοντο πρὸς Δαρεῖον. ἐπεὶ δὲ κατέλαβον πρὸς αὐτὸν οὐκ εἶχον τί διηγήσασθαι ἀλλ' ἢ μόνον εἶπον τοῖς στρατηγοῖς αὐτῶν· Τὰ πρὸς σωτηρίαν ἡμῶν πραγ-

---

2 ἕωθεν scripsi: ἔσωθεν Q **11** καθένα fortasse scribendum **13** fortasse scribendum ἐπεκάλυψαν **20** ἀποδράσαντας scripsi: ἀποδράσας Q

ματεύσασθε, Ἀλέξάνδρῳ γὰρ ἀντιστῆναι οὐ δυνησόμεθα †μείναντες οὐκ ὀλίγων ἐκ τῶν προοιμίων† γνώσεσθε τὰ πλήθη. – ἀπαγγελλοῦσι δὲ καὶ ὅσα αὐτοῖς συνέβη καὶ ὡς αὐτόπται τοῦ πλήθους γεγόνασι καὶ ὡς ὑπὸ Ἀντιόχου λαθραίως ἀπελύθησαν, μὴ γνόντος Ἀλεξάνδρου.

18

(1) Καὶ τούτων οὕτως ἐχόντων ἡ φάλαγξ Ἀλεξάνδρου μήκοθεν ἐκφαίνεται. ὡς δὲ ταῦτα ἰδόντες ἦσαν τὰ πρὸς πόλεμον εὐτρεπιζόμενοι. καὶ θεωροῦσιν ἐκτιναγέντα τὸν κονιορτὸν ἀπὸ ἄκρων τῆς γῆς ἕως ἄκρων αὐτῆς ὥστε τὸν ἥλιον σκοτισθῆναι. καὶ δὴ ἑτέρα φάλαγξ ἐκφαίνεται ὡς δοκεῖν καλύψαι πᾶσαν τὴν γῆν. φόβος δὲ καὶ τρόμος πᾶσιν ἐγένετο Πέρσαις ὁμοῦ καὶ Ἰνδοῖς, ἱδρῶτες δὲ περὶ αὐτοὺς ἐγένοντο. ὡς δὲ ἦσαν ὧδε κἀκεῖσε σκοπούμενοι τὸ συμφέρον καὶ ἡ ἑτέρα ἐκφαίνεται φάλαγξ.

(2) Δαρεῖος δὲ ὡς εἶδεν εὐθέως πάντα κατέλιπε καὶ ἐτράπη εἰς φυγὴν τάδε τὰ ῥήματα ὀδυνηρῶς ἐκπέμπων· Καὶ ὦ τλῆμον ἐγώ, ὡς τῆς ὑπ' οὐρανὸν ἐφιέμενος οὐδὲ ἡ πατρίς μου μόνη συγκεχώρηται.

(3) Ὡς δὲ ἐν τοῖς βασιλείοις κατέλαβε ἐπελθόντες αὐτῷ οἱ

---

2 cf. *εἴδαμεν φουσάτον πολὺ καὶ ἀνδρειωμένον, καὶ δυνατὰ ἔρχουνται καταπάνου σας, ἔγνοιαν καμμίαν οὐδὲν ἔχουν, καὶ τὰ φαριά τους καὶ τὰ ἄλογά τους εἶναι πολλὰ διαλεκτὰ καλά, καὶ ὅλα εἶναι βαρβάτα* Mgr

ε 18 praeb. solus Q, nonnulla e 18,6 etiam in γ II 20; narrationem habet Mgr

6 *φάλαξ* semper Q   7 *ὡς* Q: *οἱ* melius   8 *ἐκτιναγέντα* scripsi: *-γέντων* Q   9 *ὁ ἥλιος ἀπὸ τὸν κονιαρκτὸν ἐσκοτίστη* Mgr

δύο στρατηγοὶ αὐτοῦ ὅ τε Βῆσσος καὶ ὁ Ἀριοβαρζάν, ὁ μὲν τοῖς δεξιοῖς, ὁ δὲ τοῖς εὐωνύμοις τοῖς δόρασι τοῦτον πατάξαντες, ἐν τῷ ἀ⟨μ⟩φόδῳ τῆς πύλης κατέαξαν, καταλιπόντες γυμνὸν ἐρριμένον ἡμιθανῆ ἐν τῇ γῇ.

(4) Ὡς οὖν Ἀλέξανδρος ἵστησι τὰς φάλαγγας κελεύει δὲ ἕνα τῶν αὐτοῦ χιλιάρχων, ᾧ ὄνομα Εὐθύνικος, παραλαβεῖν τοὺς μετ' αὐτὸν Μακεδόνας καὶ πρὸς τὸ Περσικὸν ἀπέρχεσθαι στράτευμα ἐπιφωνῶντα αὐτοῖς τάδε· Ὑμῖν λέγει Ἀλέξανδρος ὁ βασιλεὺς ὑποκεῖσθαι τῇ τύχῃ ἢ τῷ θανάτῳ. – ὡς οὖν εἶδον αὐτὸν ἐρχόμενον μόνον, τὸ δὲ λοιπὸν πλῆθος ἑστὸς ἀκίνητον, ὑπενόησαν τί ἀγαθὸν αὐτοῖς εἶναι. ὡς δὲ ἤκουσαν εὐθέως πάντες ἔκραξαν· Ζήτω ὁ βασιλεύς, ἡμεῖς δοῦλοι Ἀλεξάνδρου, ἐπιδόσαντες τὰ φλάμουλα καὶ τὸν δίφρον Δαρείου· ταῦτα δὲ λαβὼν Εὐθύνικος Ἀλεξάνδρῳ ἐπέφερεν ἀναγγείλας τὰ περὶ αὐτῶν.

(5) Ἀκούσας δὲ ταῦτα κελεύει Σέλευκον τὸν στρατηγὸν αὐτοῦ ἀπελθόντα πρὸς τὸ Περσικὸν στράτευμα, εἰπὼν αὐτῷ· Τοὺς Ἰνδοὺς ἀπόστειλον ἀπελθεῖν εἰς τὰ ἴδια ἀφαιρεθέντων τῶν ἰδίων ὅπλων. – αὐτοὶ δὲ τοῦτο οὐ μόνον τῆς προαιρέσεως ἐποίησαν ἀλλὰ καὶ χάριτας Ἀλεξάνδρῳ ὡμολόγουν ὡς τὸ ζῆν αὐτοῖς χαρισαμένῳ. χωρισθέντος τοῦ Περσικοῦ στρατεύματος

---

1 Βῆσσος ε: Καντακρούσης Mgr | 2 Ῥισβαρζᾶν Q sed cf. **73,16–17**: Ἀριοβαρζάν β : Ἀρι(σ)βα(ρ)νούσης Mgr Slav: Ἀριοβαρζάνης Phyll (sicut VL) 2 ἔσυραν τὰ σπαθιά τους καὶ ἐκτύπησάν τον, ἕνας ἐκ τὴν μίαν μερίαν καὶ ὁ ἄλλος ἐκ τὴν ἄλλην Mgr | δὲ correxi: μὲν Q 3 ἀφόδῳ Q: correxi 4 μὲ ὀλίγη ψυχὴν τὸν ἄφηκαν ἀποκάτου τῶν ἀλόγων τὰ ποδάρια Mgr 6 Εὐθύνικος Q: Φοῖνιξ Mgr Slav 18 Ἴνδους Q

προσπεσόντες Σέλευκον ἀντ' Ἀλεξάνδρου κατησπάζοντο. Σέλευκος δὲ εἶπεν· Ἀρχὴ Περσῶν ἀναδείκνυμι.

(6) Καὶ Ἀλέξανδρος πρὸς τὰ βασίλεια ᾤχετο Δαρείου καὶ ὅσῳ Μακεδόνες τῇ νίκῃ ἐχαίροντο πλεῖον Πέρσαι δουλωθέντες τῷ Ἀλεξάνδρῳ ἠγάλλοντο. φθάνει οὖν ἐν τοῖς βασιλείοις Ἀλέξανδρος, παριόντα δὲ μετὰ πολλῆς δορυφορίας εἶδε Δαρεῖος πεπτωκὼς καὶ τὰς χεῖρας ἐκτετακὼς καὶ ᾠμώξας φωνῇ καὶ Ὦ, ἔφη, Ἀλέξανδρε, ἔπιδε ἐπ' ἐμὲ καὶ τοῖς λόγοις μου καὶ τῇ δεήσει μου πρόσσχες καὶ μὴ παραβλέψῃς με. στῆθι οὖν καὶ μικροῦ ῥήματος ἐνωτίσθητι. — ἐπὶ τούτοις προσέσχεν Ἀλέξανδρος καὶ πρὸς Δαρεῖον ἀπέρχεται καὶ τί, φησίν, εἶπες καὶ τίς εἶ ὁ λαλῶν; — ὁ δὲ ἔφη· Δαρεῖος ἐγώ, ὁ σύμπασαν δοκῶν κυριεύειν γαῖαν νυνὶ δ' ὡς ὁρᾷς γυμνὸς εἰς γῆν ἔρριμμαι, ὁ ποτὲ ὑπὸ μυριάδων δορυφορούμενος καὶ οἷα θεὸς δοξαζόμενος ἀπροστάτευτος μόνος καταλέλειμμαι κἂν βραχεῖ δόξης ἐμῆς βλέπων τὰ ἐμὰ οὐχ ἐμά. μνήσθητι, Ἀλέξανδρε, οἵας δόξης ἄφνω ἐξέπεσον, σὺ αὐτόπτης γενόμενος, καὶ μὴ ἐάσῃς με ὅλως ἐν ταύτῃ τῇ ταλαιπωρίᾳ τελευτῆσαι. ἐπίσταμαι σπλάγχνα ἔχειν σε, Ἕλλην γὰρ εἶ σὺ καὶ οὐκ ὠμὸς Πέρσης. ἐπεκάμφθη δὲ τοῖς λόγοις Δαρείου Ἀλέξανδρος καὶ τὸ χλανίδιον ἐκδυσάμενος ἐπιτίθησι Δαρείῳ καὶ λέγει τοῖς ὑπασπισταῖς· Ἄραντες τοῦτον ἀγάγετέ μοι ἔνδον τῶν αὐτοῦ μελάθρων. — ὡς ταῦτα εἶπεν Ἀλέξανδρος ἔπραξαν Μακεδόνες καὶ ταῖς χερσὶν ἄραντες

---

3 ὁ Ἀλέξανδρος ἔρχετον μὲ τῆς Μακεδονίας τὸ φουσάτον εἰς τὸν κάμπον τῆς Περσίας Mgr 9 παραβλέψῃς scripsi: -ψει Q 11 εἶπες correxi: εἰπέ Q cf. ποῖος εἶσαι ἐσὺ ἄνθρωπε ὁποῦ μὲ κράζεις Mgr 12–18 ὁ σύμπασαν – ὠμὸς Πέρσης etiam in γ lamentatio Darii olim versibus tradita 12 Δαρεῖος ἐγώ: ἐγώ εἰμι Ἀλέξανδρε γ | ὁ γ: ὡς vel ὅς Q 13 γαῖαν γ: γῆν Q 15–16 κἂν – ἀμά Q: om. γ 14 με post τελευτῆσαι γ 18 ταύτῃ γ: ταῦτα Q: fuitne ἐνταῦθα? | ἐπίσταμαι γὰρ γ 19 εἶ γ: om. Q | οὐκ Q: οὐχ γ 19–p.73,2 ἐπεκάμφθη – θυμὸς αὐτῷ Q: om. γ 19 δὲ correxi: τε Q 20–21 ἐκδυσάμενος correxi: ἐνδυσάμενος Q

ἤγαγον ἔνδον. αὐτὸς δὲ ἐπὶ τοῦ δίφρου καθεσθεὶς Δαρείου, ἐτέθη ἔμπροσθεν αὐτοῦ Δαρεῖος· ὀλίγος δὲ θυμὸς αὐτῷ. ἐν μέσῳ φέρουσιν αὐτάς, τὴν γυναῖκα αὐτοῦ καὶ τὴν θυγατέρα. ὡς δὲ εἶδε Δαρεῖος εὐθὺς ἀπόλωλεν. ἐκτείνας δὲ τὴν χεῖραν αὐτοῦ καὶ τὴν θυγατέρα κρατήσας εἶπε· Ταύτην, ὦ Ἀλέξανδρε, δέχοιο δῶρον. ἔστω δέ σοι ὡς δούλη σὺν τῇ μητρί. – καὶ ταῦτα εἰπὼν ἐξέψυξε καὶ θάπτουσιν αὐτὸν ὡς Πέρσαις ἔθος ἦν.

(7) Ἡ δὲ θυγάτηρ αὐτοῦ Ῥωξάνα ὀνόματι εὐειδὴς ἦν ὑπὲρ πᾶσαν μορφὴν ἀνθρώπου, χρόνων δὲ ὡσεὶ δέκα. ἔπαθεν οὖν τὴν ψυχὴν ταύτην ἰδὼν Ἀλέξανδρος καὶ φιλικῶς περὶ αὐτὴν διέκειτο ἔκτοτε. ἐν τούτῳ Ἀλέξανδρος βασιλεὺς κοσμοκράτωρ ὑπὸ Περσῶν ἀνηγόρευται καί φησιν· Ὑμεῖς οἱ τοῦ Περσικοῦ στρατοπέδου στρατηγοί, ἄρχοντες καὶ τοπάρχαι, ὅς ἄν μοι τὴν εὔνοιαν προμηθευσάμενος Δαρεῖον ἀπέκτεινεν ἐμφανισθήτω μοι, ἵνα τὰς ὑπὲρ αὐτοῦ ἀμοιβὰς λήψεται παρ' ἐμοῦ. – καὶ ἐμφαίνονται οἱ δύο ἀρχιστράτηγοι Δαρείου, Βῆσσος καὶ Ἀρ⟨ι⟩οβαρζᾶν, καί· Ὦ ὑμεῖς, Ἀλέξανδρος εἶπεν, οἱ τῷ ὑμετέρῳ κυρίῳ ἐπιβουλεύσαντες ἐμοὶ πῶς πιστευθήσεσθε; ἄπιτε οὖν τὴν ἀξίαν τῶν πεπραγμένων ὑποίσεσθαι δίκην. – παραχρῆμα κε-

---

3 *μέσῳ* lectio incerta: denuo incipit *γ* verbis *προστάσσει οὖν Ἀλέξανδρος καὶ φέρουσιν* p. 202,19 Engelmann | *αὐτὰς* Q: om. *γ* | *αὐτοῦ* Q: *Δαρείου γ* | post *θυγατέρα* add. *καὶ τὴν μητέρα αὐτοῦ γ* e rec. *β* 4 *ἀπόλωλεν γ*: *ἀπολώλειν* Q | *χεῖραν* Q: *-ρα γ* 6 *δέχοιο* Q: *δέχου γ* 6 *ὡς* QC: *εἰς γ* | *δούλη* corr. C: *δούλην* Q *γ* | post *μητρί* ad rec. *β* redit *γ* 16–17 *ἀροβαρζᾶν* Q

λεύει αὐτοὺς ἀνασκολοπισθῆναι πρὸ τῆς πύλης τῆς πόλεως. τούτου δὲ γενομένου ἐπὶ πάντων ἐπαινεῖται Ἀλέξανδρος.

19

(1) Ἐκεῖσε οὖν διατρίψας ἑπταμηναῖον χρόνον ἔδοξεν ἐπιστολὴν ἀποστεῖλαι τῇ μητρὶ αὐτοῦ ἐν Μακεδονίᾳ περιέχουσαν τάδε·

Ἀλέξανδρος νεύσει τῆς ἄνωθεν προνοίας βασιλεὺς Ὀλυμπιάδι τῇ μητρὶ καὶ Ἀριστοτέλει τῷ καθηγητῇ χαίρειν. ἐπειδήπερ ἀφ' ἧς ἡμέρας τῶν αὐτόθι ἐξήλθομεν ἕβδομος δὴ χρόνος παρῴχηκε μήπω τὰ περὶ ἡμῶν ἀναδιδάξαντες ὑμᾶς, τοῦτο δὲ οὐχ ἡμῶν λογισθήσεται τὸ σφάλμα, ἀλλ' ἢ τῆς τύχης καὶ τῆς προνοίας. καὶ γὰρ τὴν ἅπασαν γαῖαν περιππεύσαντες δυσμῶν καὶ τὰς νότου πάλιν ἀρχὰς ἐγκρατήσαντες, ὡς ἐν Ἰλιάδι διήλθομεν πλησίον ἐγενόμεθα Μακεδονίας, οὕτω λήθην τῆς πατρίδος ἡ τύχη ἐπήγαγεν ἡμῖν ὡς μήπω ἐν κόσμῳ γενηθῆναι. ἐπεὶ δὲ τὴν ἑῴαν διέβημεν πολεμοῦντες ἅμα καὶ πολεμούμενοι πάσας τὰς πόλεις καθυπετάξαμεν, ἐπεὶ δὲ τῇ Συριάτιδα γαίῃ προσήλθομεν τρισὶ συμβολαῖς Δαρεῖον ἡττήσαμεν προνοίας νεύσει τῆς ἄνω· ὅθεν πᾶσα

Epistulam neque vetustiores neque γ praebent, sed habet eam Mgr

9 περ' ἡμῶν ἀναδιδαξάντων Q, correxi   10–11 post τύχης fortasse ἢ add.   τώρα τὴν σήμερον ἡμέραν ἔχω ἐφτὰ χρόνους ἀφότις ἐχωρίστηκα ἀπὸ σᾶς καὶ διὰ τοὺς ἐφτὰ χρόνους οὐδὲν σᾶς ἔστειλα ἐπιστολὴν καὶ οὐδὲν ἠκούσετε μαντᾶτο ἀπὸ ἐμένα Mgr   11–13 καὶ γὰρ – Μακεδονίας deest in Mgr   12 περιππέσαντες Q, correxi

ἡ τῶν Περσῶν χώρα δουλικῶς τῇ τύχῃ καθυπακούει κἀμοὶ δουλεύειν αὐτομολήσαντες. Δαρεῖος δὲ ὁπόταν τοῦ ζῆν ἀπηλλάττετο τὴν θυγατέρα αὐτοῦ δούλην μοι ἐχαρίσατο, διὰ δὲ τὸ περιαστράπτον αὐτῆς κάλλος εἰς γυναῖκα ἀγάγεσθαι βούλομαι. γνωστὸν δὲ ἔστω ὑμῖν, μέχρις ὅτου ὁ ἔρως τὴν ἐμὴν ψυχὴν κατεβρόντησεν οὐκ ἦν μοι εἰς νοῦν ὅτι καὶ πατρίδα ἔσχον, ἀλλὰ πάντα με λέληθεν, οὐ μὴν ἀλλ' ὅτι καὶ ἄνθρωπος ἤμην. οὐ γὰρ ἐφρόντιζον εἰ μὴ ποῦ πολεμήσω καὶ ποῦ πολεμηθήσομαι. ἔρρωσον μῆτερ ἐμὴ σὺν καθηγητῇ ὑπὲρ ἡμῶν τὸν θεὸν ἐξιλεούμενοι.

(2) Ὁ οὖν Ἀλέξανδρος τὴν θυγατέρα Δαρείου ἠγάγετο εἰς γυναῖκα. ὡς δὲ τοῦτο ἠκούσθη ἐν πάσῃ Περσίδι εἰς ὁμόνοιαν ἔρχονται Πέρσαι τοῖς Μακεδόσιν ὡς ἀδελφικῶς πρὸς ἀλλήλους διακεῖσθαι.

20

(1) Μεταξὺ δὲ τούτων προστάσσει Ἀλέξανδρος Σελεύκῳ τῷ ἄρχοντι ἅπαν τὸ Περσικὸν ἐπισυνάξαι στράτευμα. μετὰ πολλοῦ δὲ τοῦ τάχους τοῦ λαοῦ ἐπισυναχθέντος εὑρέθησαν δισχίλιαι χιλιάδες ἱππέων καὶ χίλιαι χιλιάδες πεζῶν, τὸ δὲ λοιπὸν πλῆθος ἐν τοῖς πολέμοις διεφθάρη.

12–14 ὡς δὲ τοῦτο – διακεῖσθαι etiam in γ (II 22 p. 214 Engelmann) 12 ἠκούσθη ἐν πάσῃ Περσίδα Q: ἐν Περσίδι πάσῃ (vel πᾶσι) δῆλον (vel πασίδηλον) γέγονεν γ 13–14 πρὸς ἀλλήλους Q: ἀλλήλοις γ

ε 20 = γ II 23–24

18 δισχίλιαι Q: χίλιαι τριάκοντα γ | χίλιαι Q: τετρακισχίλιαι γ

(2) Τούτους Ἀλέξανδρος ἀναλαβόμενος σὺν παντὶ τῷ Μακεδονικῷ στρατεύματι τὴν κατ' Αἴγυπτον ἐποιεῖτο πορείαν. καὶ καταλαμβάνει τὴν Ἰουδαίαν γῆν, οἵτινες ἀντιστῆναι βουληθέντες ἐκπέμπουσι κατασκόπους ὡς δῆθεν πρέσβεις εἶναι. ταῦτα δὲ ὅμως οὐκ ἔλαθεν Ἀλέξανδρον, καὶ προστάσσει τινὰς τῆς Μακεδονικῆς φάλαγγος νεανίσκους λίαν γενναιοτάτους ἐν τῇ παρακειμένῃ φάραγγι ἑαυτοὺς ἀκοντίσαι. οἱ δὲ τὸ προσταχθὲν σπουδαίως ἐπλήρωσαν, ὀξὺ γὰρ τὸ Μακεδονικὸν στῖφος εἰς τὰ κελευόμενα ὑπ' Ἀλεξάνδρου. στραφεὶς δὲ πρὸς τοὺς κατασκοπεῦσαι βουλομένους εἶπε· ὁρᾶτε οἱ τοῦ Ἰουδαϊκοῦ ἔθνους πρέσβεις, ὡς ἀντ' οὐδενὸς τῷ στρατῷ Μακεδόνων ὁ θάνατος. ἄπιτε οὖν, τὸ συμφέρον ὑμῶν πραγματεύσασθε. ἐγὼ δὲ τὴν αὔριον ἐπελεύσομαι πρὸς ὑμᾶς καὶ ὡς τῇ προνοίᾳ δεκτὸν πράξω.

(3) Οἱ δὲ ἀπελθόντες ἐν τοῖς ἄρχουσιν αὐτῶν εἶπον· ὑπείκειν Ἀλεξάνδρῳ καὶ σώζεσθαι χρεών. οὐ γάρ ἐστιν ἡμῖν ἐλπὶς σωτηρίας, ἔξω γὰρ φύσεως ἀνθρώπων Μακεδόνων ὁ στρατός. ὡς γὰρ ἡμῖν φοβερὸς καθέστηκεν ὁ θάνατος, τοῖς Μακεδόσιν οὐχ οὕτως, ἀλλὰ καὶ λίαν εὐκαταφρόνητος. οἶμαι δὲ τοῦτο·

---

1 ἀναλαβόμενος Q: om. γ, sed add. ἑνώσας post στρατεύματι 4 post εἶναι add. τούτους γ 5 Ἀλέξανδρον QD: -δρῳ RC 6 λίαν γ: καὶ λίαν Q | γενναιοτάτους Q: μαχιμωτάτους γ 7–8 ad προσταχθὲν add. αὐτοῦ R, παρ' αὐτοῦ D, αὐτοῖς C: om. Q 9 τὰ κελευόμενα Q: τὸ κελευόμενον γ | στραφεὶς δὲ Q: καὶ στραφεὶς γ 9–10 τοὺς κατασκοπεῦσαι βουλομένους γ: τοῖς κατασκόποις Q 11 ὡς Q: πῶς γ 12 οὖν Q: οὖν καὶ γ | ὑμῶν Q: ὑμῖν γ | an πραγματεύσασθαι? 14 πράξω γ: om. Q 15 ἐν Q: om. γ 16 Ἀλεξάνδρῳ Q: -δρον γ | χρέων Q 17 φύσεως ἀνθρώπων γ: φύσει Q | Μακ. ὁ στρατὸς Q: ὁ Μακ. στρατὸς γ 18 ἡμῖν Q: ἐν ἡμῖν γ 19 οὐχ οὕτως ἀλλὰ γ: om. Q | εὐκαταφρόνητος γ: καταφρόνητος Q | τοῦτο Q: τούτους DC: τούτοις R

ἐριστικῶς ἔχειν τὸ θανεῖν ὡς ἄν τις εἴποι πρὸς ἀναγκαῖόν τι χρῆμα τούτους ἀπέρχεσθαι. ἐξέστησαν γὰρ ἡμᾶς ἐν τῇ φάραγγι τῇ μεγάλῃ ὡς ὑποβρυχίους αὐτοὺς ποιήσαντες Μακεδόνων παῖδες καὶ λίαν νεώτατοι. ἅμα Ἀλέξανδρος ἐκέλευσεν, ἅμα τὸ ἔργον ἐτελέσθη. καὶ οὐ τοσοῦτον ἡμᾶς ἡ τοῦ θανάτου ἐθρόησε τόλμη, ὅσον τοῦ μὴ κερδᾶναι τί προσδοκοῦντες οὕτως εὐχερῶς πρὸς τὸ θανεῖν ηὐτομόλησαν, ἂν δὲ καὶ κέρδος ἐλπίσωσιν οὐκ ἄν τις ἀντιστῆναι δυνήσεται. λοιπὸν ἡμεῖς ἅπερ ἐθεασάμεθα εἴπομεν ὑμῖν, γενέσθω τὸ δοκοῦν ὑμῖν πρὸ τοῦ καταλαβεῖν Ἀλέξανδρον καὶ πᾶσα βουλὴ ἀκυρωθήσεται. — ὡς οὖν ταῦτα πάντα ἤκουσαν Ἀλεξάνδρῳ ὑπείκειν βουλεύονται.

(4) Καὶ τὰς ἱερατικὰς ἐσθῆτας ἱερεῖς ἐνδυσάμενοι καθυπαντῶσιν Ἀλέξανδρον σὺν παντὶ τῷ πλήθει αὐτῶν. τούτους δὲ Ἀλέξανδρος ἰδὼν ἐδεδίει τοῦ σχήματος, καὶ τούτοις μηκέτι

---

2 τούτους D: τούτοις R: τίς Q: om. C | γὰρ γ: om. Q 3 ὑποβρυχίους αὐτοὺς Q: ὑποβρύχιον ἑαυτοὺς γ | ποιήσαντες γ: ἐποίησαν Q deinde add. οἱ τῶν RD, om. QC 4 παῖδες γ: om. Q | καὶ λίαν νεώτατοι Q: om. γ | ἅμα 1 Q: ἅμα γὰρ γ | ἅμα 2 Q: παρευθὺς D: εὐθὺς C: om. R 8 ἐθεασάμεθα γ: -όμεθα Q 9 γενέσθω δὲ γ 10 Ἀλέξανδρον καταλαβεῖν γ: inv. in Q | βουλὴ ἀκυρωθήσεται Q: ἀκυρωθήσεται ἄστατος βουλή γ 11 πάντα Q: om. γ 12 τὰς ἱερατικὰς ἐσθῆτας Q: ταῖς ἱερατικαῖς οὖν στολαῖς ἑαυτοὺς οἱ τούτων γ 12–13 haec exornat Mgr: ὥρισεν καὶ ἐμαζώχθην ὅλον τὸ ψυχολόγιν μικροί τε καὶ μεγάλοι νὰ ἐξεβοῦν εἰς συναπάντησιν τοῦ Ἀλεξάνδρου. καὶ ἐντύθη καὶ στολίσθην ὁ προφήτης Ἱερεμίας εἰς ἀρχιερέων ἐντυμασία, καὶ χίλιοι ἄνθρωποι ἔντιμοι εἰς φόρεσιν ἱερέων καὶ δέκα χιλιάδες ἄνθρωποι ἀνταμοῦ μὲ λαμπάδες καὶ θυμιατοὺς καὶ μὲ καντῆλες ἐσυναπάντησαν τὸν Ἀλέξανδρον καὶ ἐθυμιάτησάν τον.

προσεγγίσαι αὐτὸν ἐκέλευσεν, ἀλλ' ἐν τῇ πόλει ἀντιστρέφεσθαι. προσκαλεσάμενος δὲ ἕνα τῶν ἱερέων λέγει αὐτῷ· ὡς θεοειδὲς ὑμῶν τὸ σχῆμα, φράσον δή μοι, καὶ τίνα ὑμεῖς σέβεσθε θεόν, ὅς τοιῷδε ἐξυπηρετεῖται σχήματι. οὐ γὰρ ἐν τοῖς παρ' ἡμῖν θεοῖς τοιαύτην εὐταξίαν εἶδον ἱερέων. – ὁ δὲ εἶπεν· θεὸν ἡμεῖς ἕνα δεδουλεύκαμεν, ὅς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ὁρώμενά τε καὶ ἀόρατα. οὐδεὶς δὲ αὐτὸν ἑρμηνεῦσαι ἀνθρώπων δεδύνηται. – ἐπὶ τούτῳ Ἀλέξανδρος εἶπε· ὡς ἀληθῶς μεγάλου θεοῦ ἄξιοι θεραπευταί, ἄπιτε οὖν ἐν εἰρήνῃ, ἄπιτε. ὁ γὰρ θεὸς ὑμῶν ἔσται μου θεός, καὶ ἡ εἰρήνη μου μεθ' ὑμῶν καὶ οὐ μὴ διεξέλθω ὑμᾶς καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν, ὅτι τῷ ζῶντι θεῷ ὑμεῖς δεδουλεύκατε.

(5) Λαβόντες δὲ χρήματα ἔν τε χρυσίῳ καὶ ἀργυρίῳ ἤγαγον τῷ Ἀλεξάνδρῳ. ὁ δὲ οὐκ ἠθέλησε λαβεῖν εἰπών· ἔστωσαν ταῦτα τὰ δῶρα καὶ ὁ ἐμοὶ ἀφωρισμένος φόρος κυρίῳ τῷ θεῷ, ἐγὼ δὲ οὐ λήψομαι ἐξ αὐτῶν οὐδέν.

---

1 αὐτὸν Q: αὐτῷ γ | ἀντιστρέφεσθαι Q: ἀναστρέφεσθαι γ 3–4 ὅς – σχήματι om. γ 5 εἶπεν Q: φησιν γ 6 δεδουλεύκαμεν Q: δουλεύομεν γ | οὐρανὸν καὶ γῆν γ 8 τούτῳ Q: τούτοις γ | εἶπε Q: ἔφη γ 8–9 ἀληθῶς μεγάλου Q: ἀληθινοῦ γ 9 οὖν om. γ 10 ἐστέ Q 11 διεξέλθω γ: –θη Q | ἐν γ: om. Q | ὅτι γ: om. Q. 12 τῷ ζῶντι θεῷ Q: θεῷ ζῶντι γ 13 λαβόντες γ: –των Q | χρήματα Q: χρημάτων πλήθη γ | χρυσίῳ καὶ ἀργυρίῳ Q: χρυσῷ καὶ ἀργύρῳ γ 14 τῷ Ἀλ. Q: πρὸς τὸν Ἀλ. γ | ἠθέλησε γ: ἤθελον Q | post εἰπὼν add. αὐτοῖς γ 16 λήψομαι γ: λάβιμοι Q | αὐτῶν Q: ὑμῶν γ | οὐδὲν γ: ὁ δὲ Q haec omnia etiam in Mgr: δείξε μου ποιουνοῦ θεοῦ εἴστε ἐσεῖς. ὁ προφήτης τὸν ἀποκρίθην καὶ εἶπεν· ἕνα θεὸν ἐμεῖς πιστεύομεν καὶ ὁμολογοῦμεν ὁποῦ ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ὅλους ὁρᾷ καὶ αὐτὸν μάτιν οὐδὲν εἶδεν οὐδὲ ὠτίον ἤκουσεν καὶ εἰς καρδίαν ἀνθρώπου ἐσέβην. ὡς ἤκουσεν ὁ Ἀλέξανδρος ἐθαύμασεν καὶ εἶπεν· ὅτι ἀληθινὰ ἐσεῖς ὑψηλοῦ

21

(1) Ἐπὶ τούτοις Ἀλέξανδρος διῆλθε τὴν Ἰουδαίαν καὶ καταλαμβάνει τὴν Αἴγυπτον. ἔδοξεν οὖν τοῖς Αἰγυπτίοις μὴ ὑποκύπτειν Ἀλεξάνδρῳ, καὶ τὴν αὐτῶν πόλιν κατοχυρώσαντες εὐτρεπίζονται τὰ πρὸς μάχην. ὁ δὲ Ἀλέξανδρος τὴν φάλαγγα ἐπεκτείνας περικυκλοῖ τὴν πόλιν καὶ πήξας φοσσᾶτον διῆγεν ἀναπαύων τὸν στρατόν.

(2) Καύσωνος δὲ πολλοῦ γενομένου ἐξέρχεται ἀναψυχήσων μετ' ὀλίγων ἱππέων. καὶ δὴ καταλαμβάνει λίμνην καθαρὰν καὶ διαυγὲς ἔχουσαν ὕδωρ. κατελθὼν τοῦ ἵππου λούεται ἐν αὐτῇ, τὸ δὲ ψυχρὸν τοῦ ὕδατος ἐποίει ἀρρωστῆσαι Ἀλέξανδρον. ὡς δὲ ἦν ἡ νόσος ἐπιτείνουσα, ἤλγουν Μακεδόνες καὶ σὺν αὐτοῖς

(v. l.: ὑψίστου) θεοῦ εἶστε αἰχμάλωτοι, καὶ πιστεύω καὶ ἐγὼ ἀπὸ τὴν σήμερον ἡμέραν εἰς αὐτὸν τὸν θεὸν καὶ ὁμολογῶ καὶ προσκυνῶ καὶ ὑμνῶ τον καὶ χαρίζω του ἐκεῖνα τὰ δῶρα καὶ τὸ λιζάτον ὁποῦ ἤθελα πάρει ἀπὸ σᾶς.

ε 21 = γ II 25 (Aβ II 8); pauca etiam in K

3 Ἀλεξάνδρῳ DC: -δρον Q̄R 4–5 ὁ δὲ Ἀλ. – ἐπεκτείνας περικυκλοῖ γ: αὐτοὶ δὲ – ἐπεκτείναντες περικυκλοῦσιν Q: ὁ Ἀλ. ἔπεσε τριγύρου τὸ κάστρον τῆς Αἰγύπτου Mgr 5 τὸ φοσσᾶτον γ 7 ἀναψυχήσων γ: ἀναψυχῆσαι ὃν Q | 7–9 τὸν καιρὸν ἐκεῖνον ἦτον κάμα πολὺ τοῦ ἡλίου, καὶ ἦτον λίμνη κοντὰ εἰς τὸ κάστρον, καθάριον πολλὰ καὶ ἦτον κρύον ὥσπερ πάγος Mgr 8 καθαρὰν etiam Arm, κατάρρουν (ὕδωρ) Aβ, διαυγέστατον A Arm, om. β, ἔχων τὸ νᾶμα διαυγές, κατάρρουν καὶ γλυκῶδες Byz | διαυγὲς Q: διαυγῆ γ | ὕδωρ καὶ γ **10** ἐποίει Q: -ησεν γ | ἀρρωστῆ(σαι) Ἀλ. Q: inv. in γ **11** ἦν ... ἐπιτείνουσα Q: ἐπεκτείνετο γ | οἱ Μακεδόνες γ | καὶ σὺν αὐτοῖς Q: σὺν αὐτοῖς δὲ καὶ οἱ γ

Πέρσαι, χαρὰ δὲ τοῖς Αἰγυπτίοις ἐγένετο ἡ τοῦ Ἀλεξάνδρου ἀρρωστία.

(3) Καὶ ἀποστέλλουσί τινάς τε τῆς πόλεως πρὸς Φίλιππον τὸν ἰατρὸν λέγοντες· εἰ Ἀλέξανδρον δυνηθείης φαρμάκῳ ἀνελεῖν σὺ ἡμῶν ἔσῃ βασιλεύς. — Φίλιππος εἶπεν· οὐ γάρ ἐστιν ὁ κόσμος Ἀλεξάνδρου ἀντάξιος μιᾶς τριχός. — οἱ δὲ τοῦτο βουλευσάμενοι, θεασάμενοι αὐτὸν μὴ συγκατατεθῆναι αὐτοῖς θελήσαντα καὶ τῆς αἰτήσεως ἀποτυχόντες τοιόνδε ἐννόημα ἐννοοῦσι καὶ ὡς φιλοφρονούμενοι τῷ Ἀλεξάνδρῳ γράφουσιν ἐπιστολὴν καὶ λάθρᾳ διὰ τοῦ τείχους διδόασιν Ἀντιόχῳ εἰπόντες· τήνδε τὴν ἐπιστολὴν ἐν χερσὶ δὸς Ἀλεξάνδρου. — ἡ δὲ ἐπιστολὴ πανουργίας ἦν πλήρης, ὥστε συνταγῆναι Φίλιππον δῆθεν τοῖς Αἰγυπτίοις δολοφονεῦσαι Ἀλέξανδρον. Ἀντίοχος οὖν λαβὼν ἄγει πρὸς τὸν Ἀλέξανδρον, ὁ δὲ λαβὼν καὶ ἀναγνοὺς τίθησιν ἐν τῇ προσκεφαλίδι.

(4) Ἕωθεν δὲ Φίλιππος ἔρχεται κύλικα φέρων ἐν χερσὶν

---

1 χαρὰ Q: *κατάδηλον γ* **1–2** *ἡ τοῦ Ἀλ. ἀρρωστία* Q: *ἤδη Ἀλέξανδρον ἀρρωστεῖν γ* **3** *τινάς τε* Q: *τινες γ* **4** λέγοντες Q *γ*: λέγοντας Müller | *δυνηθείης γ*: *-θεὶς* Q *ἐὰν ἐσὺ μὲ τὰ βοτανικά σου θανατώσῃς τὸν Ἀλέξανδρον, ἐσέναν ἔχομε ἐμεῖς ὅλη ἡ Αἴγυπτος αὐθέντη* Mgr **5** Φίλιππος εἶπεν Q: *καὶ ὦ ὑμεῖς Φίλιππος εἶπεν τί ἀπεφήνασθε περὶ Ἀλεξάνδρου γ* | *οὐ γάρ* Q: *ὡς οὐκ γ* **6** Ἀλ. *ἀντάξιος* Q: *τούτου ἀντάξιος γ* (post *τριχὸς*) **7** *αὐτὸν* Q: Φίλιππον *γ* | *μὴ συγκατατεθῆναι αὐτοῖς θελήσαντα καὶ γ*: om. Q | quae sequuntur de epistola Aegyptiorum valde corrupta sunt in Q **10** *καὶ λάθρᾳ διὰ τοῦ τείχους διδόασιν γ*: *ἐν χερσὶν καὶ διὰ τοῦτο δίδωσιν* Q **11–12** *ἐν χερσὶν δὸς Ἀλ. ἡ δὲ ἐπιστολὴ γ*: om. Q **12** *πανουργίας γ* (DC): *πανοῦργος* Q | post *πλήρης* add. *μεμεστωμένη γ* **13** *δῆθεν τοῖς Αἰγυπτίοις γ*: om. Q | *δολοφονεῦσαι* Q: *-ῆσαι γ* **14** *ὁ δὲ λαβὼν* Q: om. *γ* **15** *τίθησιν αὐτὴν γ* **16** *ἕωθεν γ*: *ἔσωθεν* Q

ἐσκευασμένου βοηθήματος καί φησι· ἀνάστηθι, δέσποτα, καὶ τοῦδε τοῦ βοηθήματος πιὼν τῆς νόσου τάχιον ἀπαλλάγηθι. — Ἀλέξανδρος δὲ ἀναστὰς καὶ τῆς κύλικος ἐπιλαβόμενος σὺν δάκρυσιν ἔφη· πίομαι, Φίλιππε; — ὁ δέ· πίε, δέσποτα, καὶ τῆς νόσου τάχιον ἀπαλλάγηθι. — ὁ δὲ εἰς αὐτὸν ἐμβλέψας εἶπε πάλιν· καὶ πίομαι; — ὁ δὲ Φίλιππος εἶπεν· εἶπόν σοι, δέσποτα, πίε καὶ τῆς νόσου ἀπαλλάγηθι. — ὁ δὲ παρευθὺς ἔπιε καὶ λαβόμενος τὴν ἐπιστολὴν δίδωσι Φιλίππῳ εἰπών· ἐγὼ ᾔδειν ὅτι Φίλιππος κατὰ Ἀλεξάνδρου ἀδόλως ἔχει, οὐ γὰρ δόλος αὐτῷ ἐν ἐμοί. — λαβὼν δὲ Φίλιππος καὶ ἀναγνοὺς καί· ὦ δέσποτα, ἔφη, ἐμοὶ ὁ σύμπας κόσμος οὐκ ἀντάξιος μιᾶς τριχὸς ἐκπιπτούσης τῆς κεφαλῆς σου. καὶ ποῖός με ἕτερος ἐν κόσμῳ Ἀλέξανδρος; εἰς σὲ τοῦ ζῆν ἐπιβουλεύομαι; μὴ γένοιτο, μήτε ἀκούσω

---

1 ἐσκευασμένου γ: σκευασμένου Q | ἀνάστηθι Q: ἀναστὰς γ 2 τάχιον Q: ταχέως γ **3—p. 82,1** Ἀλέξανδρος δὲ ἀναστὰς — οὐχὶ δὲ πράξαι praebet K in cap. II 8 **3** ἐπιλαβόμενος Q: λαβόμενος Kγ, deinde add. e β II 8 (p. 82,12 Bergson) καὶ κρατήσας τῇ χειρὶ τῇ δεξιᾷ ἔβλεπεν ἐπὶ πολὺ τῷ Φιλίππῳ καὶ εἶπεν αὐτῷ K **4** ὁ δὲ Kγ: om. Q **6** εἶπεν Kγ: ἔφη Q **7** πίε Kγ: πιεῖν Q | ἀπαλλάγηθι Kγ: ἀπαλλαγῆναι Q **8** ᾔδειν QK (Aβ): εἶδον γ **9** ἔχει γ: ἔχειν QK **9—10** οὐ γὰρ δόλος (ἔχειν add. K) αὐτῷ ἐν ἐμοί QK: om. γ **10** post ἀναγνοὺς add. e β (p. 82,16 sq. Bergson) καθ' ἑαυτὸν τὰ γεγραμμένα οὐχ ὅμοιόν μοι εὑρήσεις εἶπεν K **11—12** τῆς ἐκπιπτούσης κεφαλῆς K R: τῆς transposui: τῆς ἐκπιπτούσης ἐκ τῆς κεφαλῆς C(D): τῶν ἐκπιπτουσῶν τῆς κεφαλῆς Q **12—13** ποῖός με ἕτερος ἐν κόσμῳ Ἀλ. K: ποιοῦμεν ἕτερον ἐν κ. Ἀλέξανδρον Q: ποῦ μοί ἐστιν ἐν κ. ἕτ. Ἀλέξανδρος γ **13** εἰς σὲ τοῦ Kγ: ἐν σοὶ τὸ Q | ἐπιβουλεύομαι Kγ: ἐπιβουλεύσαιμι Q | μήτε Kγ: μὴ δὲ Q **13—p. 82,1** ἀκούσω περὶ αὐτοῦ οὐχὶ δὲ πράξας Q: ἀκούσας παρ' αὐτῷ οὐχὶ δὲ πράξαι K: ὑπόφερε τοῦτο ἀκοῦσαι τὸ σύνολον δέσποτα γ hic redit K ad rec. β

περὶ αὐτοῦ, οὐχὶ δὲ πρᾶξαι. ἀλλ' ὅμως ἐπεὶ οὕτως ἔδοξεν Αἰγυπτίοις, ἰδοὺ τὸ φάρμακον πέπωκας, ἀνάστηθι οὖν καὶ πεῖραν αὐτοῖς ἅπαξ ἐπίδειξον ἵνα μάθωσι Μακεδόνας μὴ ὑπερφρονεῖν.— καὶ ταῦτα εἰπὼν ἐξῆλθε σιγὴν γενέσθαι διαταξάμενος.

(5) Τούτου δὲ γενομένου εἰς ὕπνον ἡδύτατον τραπῆναι Ἀλέξανδρον παρεσκεύασεν. ἔμεινε δὲ τὴν πᾶσαν ἡμέραν κοιμώμενος. ἑσπέρας οὖν ἤδη καταλαβούσης ὡς ἔξυπνος γενόμενος ὅλως ἦν ὑγιὴς καὶ προσκαλεσάμενος Ἀντίοχον ἔφη· ὦ Ἀντίοχε, Φιλίππου φάρμακον εἶδον καὶ ὁ Φίλιππος ἀνὴρ πιστός, 'πολλῶν ἀντάξιος ἄλλων', κάλεσον δὴ αὐτόν. — καὶ ἐξελθὼν Ἀντίοχος ἐκάλεσεν αὐτὸν καὶ Ἀλέξανδρος ἔφη αὐτῷ· ὅλως ὑγιὴς γέγονα, Φίλιππε, καὶ λαβόμενος αὐτὸν τοῦ τραχήλου κατεφίλησε.

22

(1) Καὶ ἀναστὰς κελεύει τὰ στρατεύματα πρὸς πόλεμον ὁπλίζεσθαι. ἄρτι δὲ τοῦ ἡλίου ἀνατείλαντος καὶ τὰς ἀκτῖνας ταῖς ἀκρωρείαις πυραυγεῖς ἐκπέμψαντος ἅπαν τὸ Μακεδονικὸν καὶ

9–10 cf. Hom. Il. Λ 514

1 ἀλλ' ὅμως *γ*: ὅμως Q **3** *αὐτοῖς γ*: *αὐτῶν* Q **5** *ἡδύτατον γ*: om. Q **5–6** *τραπῆναι Ἀλέξανδρον* Q: *μετετράπη Ἀλέξανδρος γ* **5** *παρεσκεύασεν* Q: om. *γ* **7** *ὡς* Q: om. *γ* **8** *ὦ Ἀντίοχε γ*: *εὖ Φιλίππῳ* Q **9** *εἶδον γ*: *ἠδὴ* Q: fortasse scrib. *ἤδη* vel *ᾔδειν* | *ἀνὴρ πιστός γ*: om. Q **11** *αὐτὸν καὶ* Q: *Φίλιππον, ὁ δὲ γ* **12** *αὐτοῦ τὸν τράχηλον γ* | *κατεφίλησε* Q: *κατεφίλει γ*

ε 22 = *γ* II 26

14 *ὁπλίζεσθαι* Q: *εὐτρεπίζεσθαι γ* **15** *ταῖς ἀκρωρείαις* Q: *τοῖς ἀκρωρείοις γ* | *ἐκπέμψαντος γ*: *ἐκπέμποντος* Q

Περσικὸν στράτευμα ἔνοπλοι τῇ πόλει κύκλωθεν παρειστήκεισαν, ἅπαντες χρυσέοις θώραξι τεθωρακισμένοι, ὥστε τὸν ἥλιον τοῖς θώραξιν ἀντικρούσαντες ἐξ αὐτῶν τὴν ἡμέραν ἐδόκει ἀνταγλαΐζεσθαι. τὰ δὲ πλήθη τῶν τόξων τὰς ἡλιακὰς ἐκάλυψεν αὐγάς, οἱ δὲ ὁπλῖται τοῖς δόρασιν ἅπαντες ἐῴκεσαν ὄρεσι περιπατοῦσι. ὡς δὲ καὶ βοὴν ἀφίεσαν εἰκάσαι τινὰ ἦν τὸν οὐρανὸν καὶ συγχεθῆναι καὶ πεπτωκέναι.

(2) Καὶ λοιπὸν πᾶσα ἡ σοφία ἀπωλώλει Αἰγύπτου. ὡς οὖν ᾔδεισαν οἱ Αἰγύπτιοι μὴ ἔχοντες τί ἂν διαπράξωνται, ἔρχονται ἐν τῷ Ἀπόλλωνος μαντείῳ καὶ πύθονται περὶ τῆς ἑαυτῶν σωτηρίας, καὶ τὸ τί ἂν διαπράξωνται καὶ τοῦ κινδύνου ἐκφύγωσι. καὶ ἐδόθη αὐτοῖς χρησμός· ἔα ἔα †ὃν οἷον γεραρῶν ὑπείκειν τῷ νεάζοντι οὐχ ὡς ὑπήκουσαν† ἄπιτε δόμων ἐμῶν, μνήμην τῶν πάλαι ἔχοντες· Ἀλεξάνδρῳ ὑπείκειν ἐφετμεύω.

(3) Οἱ δὲ τὸν πάλαι χρησμὸν ἐν νῷ λαβόντες ὡς Νεκτεναβὼ τῆς Αἰγύπτου ἀπέδρα, ἐπινοοῦσι παῖδα εἶναι Νεκτεναβῶ τὸν

12–14 vaticinium cf. Ps.-Call. I 34 p.38 Kroll, p.53 Bergson (et I 3 p.3 Kroll)

2 ἅπαντες Q: οἱ πάντες γ | θώραξι τεθωρ. Q: inv. in γ 3 ἀντικρούσαντες Q: -οντα γ 3–4 ἐξ αὐτῶν τὴν ἡμέραν ἐδόκει Q: ἐδόκει ἐξαῦθις τὴν ἡμέραν γ 4 τὰ δὲ πλήθη γ: τῷ πλήθει Q 5 ἅπαντες Q: ἄραντες γ 6 περιπατοῦσι Q: -οῦντα γ | ἦν Q: om. γ, sed add. εἶναι post οὐρανὸν 8 ἀπολώλει Q: ἀπόλωλεν γ 9 διαπράξονται Q: -οιντο γ 10 τῷ τοῦ γ | post πύθονται add. τί δ' ἂν γένοιτο γ: om. Q | ἑαυτῶν Q: αὐτῶν γ 11 καὶ τὸ τί ἂν διαπρ. Q: om. γ 12–14 vaticinium corruptum, sanare temptaverunt DC 12 post ἔα ἔα add. θνητοῖς ἀστατεῖ ἡ φρένα (φρενή DC) γ: om. Q ὃν οἷον γεραρῶν (γεράρων Q) ὑπείκειν τῷ νεάζοντι (νεάζοντες R) οὐχ ὡς ὑπήκουσαν (ὑπήκοισαν R) QR: ᾧ γεραρῷ (γεραροὶ C) ὑπείκεσθε πρὶν νεάζοντες νῦν νεάζοντι ὑπείκεσθε (πρὶν – ὑπ. om. C) γεραροί (γεραρῷ C) DC 13 ἄπιτε QR: ἄπιτε ἐς DC 14 ἔχοντες Q: ἐχόντων γ 15 ἐν νῷ γ: om. Q

Ἀλέξανδρον. ὡς δὲ οἱ ὁπλῖται καὶ οἱ λοχαγοὶ τοῖς τείχοις προσήεσαν ἔνδον φωνὰς ἀκούωσιν, αἱ δὲ φωναὶ Ἀλέξανδρον εὐφήμουν καὶ ‚ὁ βασιλεὺς ζήτω Ἀλέξανδρος' ἔλεγον. καὶ ὑπεράνω τοῦ τείχους αἱ φωναὶ ἠκούοντο, οὐδεὶς δὲ τῶν ἄνωθεν προκύψαι ἐτόλμα διὰ τὸ πλῆθος τῶν ἐπιφερομένων βελῶν. ἀκούουσι ταῦτα Μακεδόνες καὶ γελᾶν παραχρῆμα ἐπιχειροῦσιν, ὁ δὲ γέλως εἰς ἅπαν τὸ πλῆθος ἐπεφέρετο καὶ ἦν ὁ πόλεμος γελοίων ἀνάμικτος. ἔρχεται τοίνυν ὁ λόγος πρὸς Ἀλέξανδρον ὡς αὐτὸν ἔνδοθεν εὐφημίζουσι. καὶ δὴ Ἀλέξανδρος παραγίνεται καὶ κελεύει ἄνεσιν δοῦναι τῷ πολέμῳ.

(4) Τούτου δὲ γενομένου καὶ τοῦ πολέμου ἀνακωχὴν λαβόντος μικρὸν προκύψαι τοῦ τείχους κατατολμῶσιν Αἰγύπτιοι, ἱκετηρίαις φωναῖς τὸν Ἀλέξανδρον καθικετεύοντες καί· ἐλέησον ὦ δέσποτα, ἔφασκον, τὴν πάλαι πατρίδα σου καὶ μὴ εἰς τέλος ὀργίζου τοῖς δούλοις σου. — ὡς οὖν ἤκουσεν περὶ πατρίδος Ἀλέξανδρος ἐννεὸς γενόμενος κελεύει παντελῶς ἀφεθῆναι τὸν πόλεμον καὶ τοὺς βουλομένους ἐξιέναι τῆς πόλεως, καὶ περὶ τοῦδε ἑρμηνεῦσαι τοῦ λόγου ἔλεγεν· οὐ γὰρ ἔσχον πατρίδα Αἴγυπτον, Μακεδονία δέ μοι πατρίς, καὶ πῶς ὑμεῖς πατρίδα με Αἴγυπτόν φατε ἔχειν; — οἱ δὲ προσπεσόντες τὰ τοῦ χρησμοῦ διηγοῦνται καὶ ὅτι Νεκτεναβὼ βασιλέα ποτὲ εἶχον καὶ ὡς ἐν

---

1 οἱ (ὁπλῖται) Q: om. γ | τοῖς τείχοις Q: τῷ τείχει γ 2 φωνὰς ἀκούωσιν Q: φωναὶ ἠκούοντο γ 2–3 εὐφήμουν Q: ἐπευφήμουν γ 4 δὲ γ: om. Q | ἄνωθεν Q: ἔσωθεν τῆς πόλεως γ 6 ὁ Q: τὸ γ 8 ὡς Q: ὡς ὅτι γ 9 δὴ Q: om. γ | παραγίνεται Q: παρακλίνεται γ 13 ἱκετ. φωναῖς τὸν Ἀλ. γ: ἱκετηρίους φωνὰς τῷ Ἀλεξάνδρῳ Q 14 τὴν γ: τῇ Q 16 ἔννεος Q | ἀφεθῆναι Q: ἀνεθῆναι γ 18 ἡμῖν ἑρμηνεῦσαι γ | ἔλεγεν Q: om. γ 19 με Q: om. γ 21 ὅτι Q: ὡς γ | καὶ ὡς Q: ὡς γ

τοῖς χρόνοις αὐτοῦ εὐτυχὴς ἦν Αἴγυπτος. τανῦν δὲ πάλιν ἐκεῖνον ἐθέσπισε κοσμοκράτορα τὸ μαντεῖον, ὦ δέσποτα, διὰ γάρ σου πάλιν Αἴγυπτος φυλαρχήσειε καθάπαρ ἡμῖν νενόμισται. ἔχε οὖν τὴν πόλιν σου καὶ τὸ δοκοῦν σοι πρακτέον ἐν ἡμῖν γένοιτο.

(5) *Ὡς δὲ τὰ τοῦ χρησμοῦ ἀνηγγέλθη Ἀλέξανδρος εὐθέως εἰς νοῦν τὰ περὶ ἑαυτοῦ ἔλαβε, καὶ συστολὴν τοῦ πολέμου κελεύει γενέσθαι καὶ τοὺς πρώτους ἐξιέναι τῆς πόλεως καὶ σὺν αὐτῷ εἰσιέναι καὶ ἄγειν ἔμπροσθεν αὐτοῦ ἐν μελάθροις Νεκτεναβῶ. ταῦτα δὲ μετὰ πολλοῦ τοῦ τάχους ἐγένοντο.*

23

(1) *Ἐξῄεσαν δὲ ὅμως Αἰγύπτιοι καὶ δουλικῶς Ἀλεξάνδρῳ προσπίπτουσι καὶ σὺν αὐτῷ ἐν μελάθροις Νεκτεναβῶ εἰσβαίνουσι, καὶ ἀντὶ λύπης μᾶλλον ἔχαιρον. ἐπὰν οὖν πόλις πολιορκουμένη προκαταλάβηται, λύπη τοῖς ἐγχωρίοις ἐπεισέρχεται ὡς τὴν πατρίδα τοῖς πολεμίοις παραληψομένην βλέποντες. ταῦτα δὲ μᾶλλον Αἰγύπτιοι ὁρῶντες ἐκ θλίψεως εἰς χαρὰν μετῄεσαν, οὐχ ὡς πολέμιον αὐτὸν ἡγούμενοι ἀλλ' ὡς τὴν βασι-*

---

1 *πάλιν* γ: *μᾶλλον* Q 2 *τὸ μαντεῖον* scripsi: *μάντη* Q: om. γ, sed post *δέσποτα* habet *ὁ χρησμός* 4 *πρακτέον* Q: *πραττέον* ut videtur γ 8 post *πόλεως* add. *προστάττει* γ

ε 23 = γ II 27

11 *οἱ Αἰγύπτιοι* γ | *καὶ* γ: om. Q 13 *τῆς λύπης* Q | *οὖν* Q: *γὰρ* γ 14 *λύπη* Q: *λοιπὸν* γ | post *ἐγχωρίοις* add. *ἄμετρος* γ | post *ἐπεισέρχεται* add. *θλῖψις* γ 15 *παραληψομένην* γ: *παραλελημμένην* Q 16 *οἱ Αἰγ.* γ 17 *πολέμιον αὐτὸν* Q: *πολεμίους αὐτοὺς* γ 17–p. 86,1 *τὴν βασιλείαν* Q: *τὸν βασιλέα* γ

λείαν αὐτοῖς ἐπιφέροντα καὶ ,πάλιν ἄρχει Αἴγυπτος' ἔλεγον ἐπευφημοῦντες καὶ χαίροντες.

(2) Ὡς δὲ τοῖς βασιλείοις εἰσῄει Ἀλέξανδρος, τὸ τοῦ Νεκτεναβῶ ὁμοίωμα πρὸ τῶν θυρῶν ἵστατο ὡς οὖν ἐστοιχειωμένον, στέφανον δὲ τῇ δεξιᾷ ἔχον χειρί, τῇ δὲ λαιᾷ σφαιροειδές τι προδεικνῦον, ἐν αὐτῷ δὲ ἡ σύμπασα περιεγέγραπτο κτίσις. ἐν δὲ τῷ στήθει τῆς εἰκόνος τάδε ἦν γεγραμμένα·

ὅς ἄν τοῖς ἐμοῖς ἕρψει δόμοις τόδε τὸ στέφος θήσομαι κεφαλῇ,
τοῦτον παῖδα ἐμὸν πάντες εἶναι νοεῖτε,
τὴν δ' ἅπασαν νοστήσειε γαῖαν, τούτ' ἐπ' ὄνομα δοθῇ ἡ πόλις.

(3) Ὡς δὲ τὴν πύλην Ἀλέξανδρος εἰσέδυ τὸ ἐμφερόμενον στέφος διατίθησιν ἡ εἰκὼν πρὸς τῇ κεφαλῇ αὐτοῦ. περιστραφεὶς οὖν τὸ συμβὰν ὡς ἐθεάσατο καὶ τὴν χεῖρα ἐκτετακὼς περὶ τὸν ἐν τῇ κεφαλῇ αὐτοῦ τεθέντα ἤδη στέφανον, καὶ τὸ κατεχόμενον τῇ λαιᾷ σφαιροειδὲς τῇ χειρὶ αὐτοῦ τίθησιν ἡ

---

1 ἐπιφέροντα Q: -τες γ, qui huc traiecit εὐφημοῦντες καὶ χαίροντες 4 ὡς οὖν Q: ὡς (καὶ C) ἦν γ: ὡσεὶ vel ὅ ἦν melius esset 5 λαιᾷ Q: ἑτέρᾳ γ 6 post σύμπασα add. τῆς οἰκουμένης γ: om. Q | περιεγέγραπτο γ: περιέγραπτο Q 8 ἕρψει Q: ἕρπει γ | τόδε τὸ γ: τόδε Q 10 τὴν (δ' Q) ἅπασαν QDC: τὴν δὲ πᾶσαν R | τούτ' ἐπ' ὄν. δ. ἡ πόλις Q: τοῦδε τοὔνομα δοθῇ πόλει τῇδε γ 11 ὡς Q: ἅμα γ | πύλην γ: πόλιν Q 12 πρὸς Q: πρὸ R: ἐπὶ CD | τῇ κεφαλῇ Q: τῆς κεφαλῆς γ 13 οὖν Q: δὲ γ | ἐθεάσατο R: θεάσεται Q: -ηται C: -οιτο D 14 περὶ QC: παρὰ R: om. D | τὸν .... τεθέντα γ: τῷ .... τεθέντι Q | ἤδη στέφανον γ: ὡς ἤδει Q | καὶ τὸ QR: κάτω CD 15 τῇ λαιᾷ (add. χειρὶ C) QC: corrupta quaedam RD

εἰκών, ὥστε θαυμάσαι ἐπὶ τῷ γεγονότι πάντας τοὺς ἐντυγχάνοντας. ὡς οὖν τῇ εἰκόνι προσέσχεν Ἀλέξανδρος καὶ τὸ ὁμοίωμα θεασάμενος, ἔγνω μὲν τὸ μόρφωμα Νεκτεναβῶ εἶναι, ἐπὶ δὲ τὸ στῆθος ἀποβλέψας καὶ τοῖς γράμμασιν ἐντυχών, ταῦτα μὲν αὐτοχείρως ἤμβλυνε, τὴν δὲ εἰκόνα ὡς τὰ τῆς ἀρχῆς αὐτῷ μαντευσαμένην ἐτίμησε περιχρυσώσας αὐτήν. οὐκ ἤθελε γὰρ Ἀλέξανδρος Νεκτεναβῶ παῖς λογισθῆναι, ἀλλὰ Φιλίππου μέν, ἐκ θεῶν δέ. οὕτως καὶ τοῖς πᾶσιν ἐνομίζετο.

24

(1) Διατρίψας οὖν ἐκεῖσε χρόνον τινὰ τὴν πόλιν οἰκοδομεῖν ἐγχειρίζεται, κίοσι δὲ πλείστοις αὐτὴν κατακοσμήσας καὶ τὰ τείχη πύργοις εὐμήκεσι καὶ μεταρσίοις κατοχυρώσας, ἐν δὲ τῇ κατὰ ἀνατολῶν πύλῃ μεταρσιώτατον πάντων ἕνα πύργον ᾠκοδόμησεν. ἐν αὐτῷ δὲ τὴν αὐτοῦ στήλην ποιήσας ἥδρασε περὶ

---

1 ἐπὶ τῷ γεγονότι Q: τὸ γεγονὸς γ **1–2** ἐντυγχάνοντας γ: ἐντυχόντας Q Ἀλέξανδρος ὡς ἤκουσεν τοὺς λόγους ὑπῆγεν πρὸς τὸν στῦλον τοῦ Νεκτεναβοῦ καὶ ἐξύγωσε κοντὰ εἰς τὸ πρόσωπόν του. τὸ στεφάνιν ἔπεσεν ἀπὸ τὸ κεφάλιν τοῦ Νεκτεναβοῦ, καὶ ἔπεσεν εἰς τὸ κεφάλιν τοῦ Ἀλεξάνδρου. τῆς Αἰγύπτου οἱ μεγιστᾶνοι καὶ ὁ κοινὸς λαὸς ὡς εἶδαν τὸ τοιοῦτον πρᾶγμα ἔφριξαν θαῦμα μεγάλον. Mgr **6** περιχρυσώσας γ: χρυσώσας Q **6–7** αὐτὴν γ: om. Q **7–8** λογισθῆναι Q: λογίζεσθαι γ **9** ἐνομίζετο Q: ὁ λόγος ἐγνωρίζετο γ

ε 24 = γ II 28

10 τὴν Qγ (RD): om. C **11** ἐγχειρίζεται DC: ἐχειρίζεται QR | δὲ Q: τε γ **13** ἀνατολῶν Q: -λὴν RC: -λὰς D **13–14** ᾠκοδόμησεν Q: οἰκοδομήσας γ **14** δὲ Q: om. γ | αὐτοῦ Q: ἑαυτοῦ γ | ἥδρασε Q: ἵδρυσε γ

αὐτὸν δὲ Σελεύκου καὶ Ἀντιόχου καὶ Φιλίππου τοῦ ἰατροῦ. καὶ τὴν μὲν Σελεύκου κέρας ἔχουσαν γνωρίζεσθαι πεποίηκε διὰ δὲ τὸ ἀνδρεῖον καὶ δυσμάχητον, Φίλιππον δὲ σχῆμα ἔχειν ἰατρικὸν καὶ στρατιωτικόν, Ἀντίοχον δὲ δορυφόρον ἐμφαίνεσθαι.

(2) Τῶν πασῶν τελεσθεισῶν καὶ τῆς πόλεως περικαλλεστάτης ἐν παντὶ ὀφθαλμῷ ἀνθρώπων γεγονυίας ἄνεισιν Ἀλέξανδρος ἐν τῷ πύργῳ καὶ πάντας ἐξουθένωσε τοὺς θεοὺς τῆς γῆς καὶ τοὺς ἐν Ὀλύμπῳ καὶ θαλάσσῃ, καὶ μόνον θεὸν ἀνεκήρυξεν ἀκατανόητον, ἀθεώρητον, ἀνεξιχνίαστον, ἐπὶ τῶν Σεραφὶμ ἐποχούμενον καὶ τρισαγίᾳ φωνῇ δοξαζόμενον. ἐν τούτῳ στὰς Ἀλέξανδρος ηὔξατο καί· ὦ θεὲ θεῶν καὶ δημιουργὲ ὁρατῶν τε καὶ ἀοράτων, συνεργός μοι φάνηθι ὧν πράττειν μέλλω.

(3) Κατιὼν δὲ τοῦ πύργου εἰς τὰ βασίλεια ᾤχετο. καὶ Σέλευκος μὲν ἄρχων τῶν Περσῶν ἦν, Φίλιππος δὲ Αἰγυπτίων ⟨καὶ Ἀντίοχος τῶν Ἀσσυρίων⟩ ἡγεῖσθαι προστέτακτο, Ἀλέξανδρος δὲ Μακεδονίοις ἐπεστήρικτο.

---

1 δὲ Q: τε γ 3 Φίλιππον Q: -ου γ 3–4 ἰατρικὸν γ: om. Q 4 ἐμφαίνεσθαι QD: ἐμφέρεσθαι RC 5 πάσων Q deinde add. τοίνυν γ fortasse latet corruptio, cf. C, qui corr. τῶν πάντων τοίνυν τελειωθέντων ἔργων 5–6 περικαλλεστάτης γ: -στατα Q 6 παντὶ ὀφθαλμῷ γ: τε ὀφθαλμῶν Q 7 καὶ QC: καὶ στὰς RD | ἐξουθένωσε Q: -ησεν γ 8 καὶ τοὺς ἐν Ὀλ. καὶ θαλάσσῃ om. γ | post μόνον add. ἀληθινὸν γ: om. Q 9 ἐπὶ QR: τὸν ἐπὶ DC 10 τρισαγίᾳ Q: -γίῳ γ | τούτῳ Q: τούτοις γ 12 τε Q: om. γ 13–14 Σέλευκον μὲν ἄρχοντα τῶν Περσῶν καθίστησιν γ 14 Φίλιππος Q: -ον γ 15 uncis inclusa conlato cap. 46,1 addidi 16 Μακεδονίοις γ: Πελακεδόνων Q | post ἐπεστήρικτο add. καὶ ψυχαὶ Μακεδόνων Ἀλεξάνδρῳ ἐκρέμαντο γ: om. Q

25

(1) Καὶ δὴ συναθροίσας πάντα τὰ στρατόπεδα ὥρμησε κατὰ δυσμῶν καὶ πάντα τὰ ἔθνη ἐδουλοῦντο καὶ φόρους αὐτῷ ἐδίδοσαν. καὶ οὐκ ἦν αὐτῷ ὁ ἀνθιστάμενος, ὅτι πάντες αὐτὸν ἐφοβήθησαν. διελθὼν δὲ τὴν ὑφήλιον δυσμῶν οὐκ ἦν οἰκεῖσθαι τὴν γῆν ἔτι. κελεύει οὖν τὸν πάντα λαὸν ἀπαρτισμὸν ἐξαμηναίου χρόνου βαστάσαι ὡς τῇ ἀοικήτῳ ἐπιβῆναι βουλευσάμενος.

(2) Τούτου δὲ γενομένου ὡσεὶ πορείαν ἡμερῶν δέκα ἐμπεριπατήσαντες ἐν ἐρήμοις κατήντησαν τόποις καὶ λείοις. καὶ ἰδοὺ γυναῖκες ἐμφαίνονται φοβεραὶ τῷ εἴδει καὶ ἄγριαι τοῖς προσώποις. τὸ δὲ πᾶν σῶμα αὐτῶν τετριχωμένον ὡς ἄν τις εἴποι ὑὸς ἀγρίου. ἡ δὲ κόμη τῆς κεφαλῆς αὐτῶν κατήρχετο μέχρι κνημῶν, οἱ δὲ ὀφθαλμοὶ αὐτῶν δίκην ἀστέρων ἐξέλαμπον. οὐχ ὡς δὲ παντὸς ἀνθρώπου εἶχον τὴν θέσιν, ἀλλὰ κατήρχοντο ἀπὸ μετώπου ἐπὶ τὸ πρόσωπον. αἱ δὲ ὄνυχες αὐτῶν

ε 25, 1–3 = γ II 29

2 δυσμῶν Q: τῶν ἐνδοτέρων ἐθνῶν γ 3 αὐτῷ Q: τούτω post ἀνθιστάμενος γ 4 δυσμῶν Q: πᾶσαν γ 5 τὸν πάντα Q: inv. γ | ἐξαμηναίου Q: -νιαίου γ 7 post subscriptionem ἔνθα εἶδεν Ἀλέξανδρος ἐν τῇ ἐρήμῳ διάφορα γένη ἀνθρώπων incipit K verbis ἐκεῖθεν ἀναχωρήσαντες (β II 33 p. 127,14 Bergson) ὡς ἡμερῶν δέκα ἐμπεριπατήσαντες etc. sicut ε | πορείαν γ: -ας Q: om. K 9 ἐμφαίνονται Q: ἐφάνησαν γ: ἐφέροντο K 10 δὲ πᾶν K: πᾶν δὲ Q: δὲ ὅλον γ 11 ὑὸς ἀγρίου QK: συὶ ἀγρίῳ γ | ἡ δὲ κόμη ... κατήρχετο Q: αἱ δὲ κόμαι .... κατήρχοντο γK: κατήρχοντο – ὀφθαλμοὶ αὐτῶν om. K 12–13 ἐξέλαμπον Q: κατ- Kγ | εἶχον Q γ: ἔχων K | θέσιν Q: θέασιν Kγ 13–14 κατήρχοντο an corruptum?

εὐμήκεις ἀνὰ πήχεως μιᾶς, οἱ πόδες αὐτῶν ὡς ὀνάγρου, τὸ δὲ μέγεθος τοῦ σώματος αὐτῶν ὡς ἀνδρῶν τριῶν. ὡς δὲ ταύτας ἐθεάσαντο καὶ ἀσκόπως ἐπέδραμον αὐταῖς, ἀνθυποστρέψασαι ἀνεῖλον ἐκ τῶν στρατιωτῶν τέσσαρας τοῖς ὄνυξι διασπαράξασαι. καὶ πορευθεῖσαι τούτοις κατεθοινήσαντο ἐπ' ὄψεσιν ἡμῶν, ὥστε καὶ τὸν χοῦν, ἔνθα τὸ αἷμα αὐτῶν ἐπεπήγει ἐξέλειξαν. θαυμαζόντων δὲ πάντων καὶ ἀπορουμένων ἐπὶ τῇ τοιαύτῃ θεωρίᾳ ἰδοὺ εἰς πλῆθος ἐφαίνοντο καὶ τῇ φάλαγγι ἐπιβᾶσαι μήκοθεν ταῖς χερσὶν ἐκτετακυῖαι ἥρπαξον τοὺς στρατιώτας ἐκ μέσης τῆς φάλαγγος καὶ κατεθοινοῦντο. εἰς παντελῆ δὲ ἀπόγνωσιν πάντες ἤλθοσαν. καὶ δὴ Ἀλέξανδρος διανοεῖται καὶ κύνας πλείστους ἐκ τοῦ φοσσάτου ἐπισυνάξας — πάνυ γὰρ ἐν τῷ κυνηγεῖν πλήθη κυνῶν ἐκέκτητο ἕκαστος. ἐπισυναχθέντες δὲ ἀναρίθμητον πλῆθος κυνῶν ἐπικινεῖ αὐταῖς μετὰ τῶν κυνῶν Ἀλέξανδρος. αὗται δὲ τοὺς κύνας ἰδοῦσαι εἰς φυγὴν

---

1 εὐμήκεις Κγ: om. Q | ἀνὰ Κγ: ἀπὸ Q 2 τὸ δὲ μέγεθος Κγ: μέγεθος δὲ Q | αὐτῶν Κγ: om. Q 2–3 ταύτας Κγ: ταῦτα Q 3 ἐπέδραμον Κγ: κατ- Q 4–5 διασπαράξασαι QC: -αντες Κγ 5 πορευθεῖσαι γ: πορευθεὶς K: παρευθὺ Q | τούτοις KR: τούτων Q: τούτους DC 6 ἔνθα — ἐπεπήγει Κγ: τοῦ αἵματος αὐτῶν πεπηγότος Q 7 post πάντων add. ἡμῶν γ: om. QK 8 post θεωρία add. καὶ Q: om. Κγ | ἐφαίνοντο Κγ: ἐμφαίνοντο Q 9 ἐκτετακυῖαι QD: -κυΐαις γ: -καίος K 12–13 ἐπισυνάξας — ἕκαστος om. K 12 πάνυ γ: καὶ πάνυ Q 13 ἐκέκτ. ἕκ. Q: inv. γ 13–14 ἐπισυναχθέντες scripsi: -θέντων Q: -θήσοντες K: -άξας γ 14 ἀναρ. πλῆθος κυνῶν QK: ἁπλῶς εἰπεῖν παντὸς τοῦ στρατοπέδου τοὺς κύνας γ

τρέπονται. καὶ τὸ πλῆθος αὐταῖς ἐπεχύθη καὶ ἀνεῖλον ἐξ αὐτῶν ἱκανάς. αἱ δὲ λοιπαὶ ἔφυγον καὶ ἀφανεῖς ἐγένοντο.

(3) Ἐκεῖθεν δὲ διασωθέντες δι' ἡμερῶν πεντήκοντα καταλαμβάνουσι γῆν ἄμμον ἔχουσαν. διερχόμενοι δὲ τὴν αὐτὴν γῆν μύρμηκες ἀνελθόντες ἥρπαζον ἵππους καὶ ἄνδρας καὶ ἀνεχώρουν. πῦρ δὲ ὅμως ἐν τούτοις ἀνάψαντες τῆς τούτων διασῴζονται βλάβης.

(4) Ἐκεῖθεν οὖν διελθόντες ποταμὸν κατέλαβον παμμεγέθη, πλάτος αὐτῷ πορείας ἡμερῶν τριῶν. ἐλθόντες οὖν ἐπὶ τὸν ποταμὸν ἐν ἀμηχανίᾳ διῆγεν Ἀλέξανδρος. καθίσας δὲ παρὰ τὴν ὄχθην ἐκεῖσε φοσσᾶτον εἶπεν πηγῆναι. τούτου δὲ γενομένου ὡς διενοεῖτο τὴν τοῦ ποταμοῦ διάβασιν, ἐξαίφνης τὸ ὕδωρ ἐξηράνθη καὶ ἀντὶ ὕδατος ἄμμος ἔρρει. ταῦτα δὲ ἰδὼν Ἀλέξαν-

---

1 αὐταῖς QK: αὐτῶν R: om. DC | ἐπεχύθη Q: ἐπεχθῆ K: ἐπέχθη R: ἐπάχθη C: om. D 2 post ἐγένοντο add. subscriptionem ἔνθα Ἀλέξανδρος ἐν τῇ ἐρήμῳ ἰδὼν γυναῖκας K 3 δὲ Kγ: οὖν Q | πεντήκοντα K: πέντε Q: τριάκοντα γ 5 ἄνδρας Kγ: ἀνθρώπους Q 6 ἐν τούτοις ἀνάψαντες Kγ: inv. in Q 7 post βλάβης ad rec. β redit K verbis ἐκεῖθεν δὲ ἀναχωρήσαντες ἤλθομεν εἰς τινὰ τόπον ὅθεν ἐξήρχετο πηγὴ πλουσιωτάτη (= β II 33 p. 127, 14 Bergson)

ε 25,4 = γ II 30, in Mgr nihil nisi ὁ Ἀλέξανδρος .. ηὗρεν ποτάμιν φαρδὺν ἕως ἥμισυ ἡμέραν περπάτημαν καὶ ἔπεσε εἰς λογισμὸν μέγαν. Ἀλέξανδρος ἐποίησεν γιοφύριν εἰς μονόξυλα διὰ ἡμέρες ξ' καὶ ὅλον τὸ φουσᾶτον ἐπέρασεν ἐπὶ τὸ γιοφύριν 8 κατέλαβον Q γ: -λάβομεν R 9 αὐτῷ γ: om. Q 10 post ποταμὸν add. καὶ τοιοῦτον πέρας (τέρας DC) θεασάμενοι γ: om. Q | δὲ Q: γὰρ R: οὖν D: ὅμως C 11 ἐκεῖσε Q: -θεν γ | τὸ φοσσᾶτον γ | πηγῆναι Q: ἐμπαγῆναι γ 12 post διενοεῖτο add. ὁ Ἀλέξανδρος γ | post ἐξαίφνης add. οὖν γ 13 ἔρρει Q: ἐρρύη γ

δρος τὴν τοῦ ποταμοῦ διέγνω διάβασιν, καὶ κελεύει κατασκευασθῆναι ἐκ ξύλων τετραγώνων ἄρκλας. τούτου δὲ γενομένου κελεύει κατασκευασθέντα βληθῆναι ἐν τῇ ῥοῇ τοῦ ἄμμου. ὡς δὲ τὴν πρώτην ἴεσαν, λίθοις εἶπε γεμισθῆναι, τούτου δὲ γενομένου ἔμεινεν ἀμετακίνητος καὶ στερεά. ἐν δὲ τῇ δευτέρᾳ διαπορευόμενοι κελεύει ἐνεχθῆναι ξύλα εὐμήκη, ὡσεὶ οὐργυίων τεσσάρων ἢ καὶ ἓξ καὶ τεθῆναι αὐτὰ ἐν τῇ πρώτῃ ἄρκλᾳ, διαχωρίσαι τὴν δευτέραν οὐργυιὰς τέσσαρας. ἐνέγκαντες δὲ τὴν δευτέραν ἄρκλαν κενὴν τιθέασιν ἐπάνωθεν τῶν δύο ξύλων καὶ ἀκοντίσαντες αὐτὴν κατῆλθεν ἐν τῇ ῥοῇ τοῦ ἄμμου, ἀπέχουσα τῆς πρώτης οὐργυίας τέσσαρας. εὐθέως δὲ καὶ ταύτην λίθοις γεμίσαντες ἔμεινε καὶ αὕτη στερεά. ὡσαύτως δὲ τὴν τρίτην καὶ τετάρτην ποιήσαντες καὶ τὰς λοιπάς, γεφυροῦσι τὸν ποταμὸν καὶ περνᾷ πᾶς ὁ λαὸς δι' ἡμερῶν ἑξήκοντα. ὅντινα ποταμὸν διαβὰς Ἀμμόρρουν ἐκάλεσεν. τρεῖς γὰρ ἡμέρας ὕδωρ ἦν ῥέων καὶ τρεῖς ἡμέρας ἄμμον.

---

1 διέγνω Q: ἐπ- γ **3** κατασκευασθέντα Q: αὐτὴν γ | ἄμμου Q: ποταμοῦ γ **4** post λίθοις add. αὐτὴν γ | τούτου γ: ταῦτα Q | γενομένου γ: γεναμένου Q **5** ἔμεινεν ἀμ. Q: inv. in γ **5–6** διαπορευόμενοι scripsi: διαπορούμενοι Qγ: διαπεραιούμενοι Müller **6** οὐρ- (sic Q) vel ὀργίων codd. **7** ἐν γ: om. Q **7–8** post διαχωρίσαι add. δὲ γ **9** κενὴν γ: καὶ αὐτὴν Q | τιθέασιν γ: τεθ- Q | δύο Q; om. γ **10** ἀπέχουσα Engelmann: -σαν Q γ **11** οὐργίας codd. **12** post στερεά add. καὶ ἀμετακίνητος γ | δὲ Q: καὶ γ **13** ποιήσαντες post λοιπὰς trsp. γ | λοιπὸν γεφυροῦσι γ **14** περνᾷ Q: περᾷ γ | ἑξήκοντα Q: ἑξήκοντα ἓξ γ **14–15** ποτ. διαβ. Ἀμμ. ἐκάλ. Q: διαβὰς Ἀμμ. ποτ. τοῦτον ἐκάλεσεν γ **15** Ἄμμορουν Q

26

(1) Διελθόντες δὲ τὸν ποταμὸν κόσμον ἄλλον κατελάβομεν, ἀνθρώπους μὲν εὑρόντες εὐτελεῖς καὶ λίαν σμικροτάτους, ὡς εἶναι τὸν τέλειον ἄνθρωπον πῆχυν ἕνα καὶ ἥμισυ. ὡς δὲ ἐθεάσαντο, ἦλθον πρὸς ἡμᾶς γονυπετοῦντες καὶ παρακαλοῦντες ἵλεων γενέσθαι {ἐπὶ} τούτοις Ἀλέξανδρον. εἰς τὴν αὐτῶν ἐπιδὼν εὐτελῆ ταπείνωσιν, ὁ δὲ ἀπέστειλεν αὐτοὺς εἰρήνην εἰπών· ἄπιτε οὖν, μηδεμίαν παρ' ἡμῶν ἐκδεχόμενοι βλάβην.

(2) Ἐκεῖσε οὖν διατρίψας ἱκανὰς ἡμέρας, ἀνεζωπυρήθη πᾶν τὸ στρατόπεδον. πόλιν δὲ ἐκεῖσε κτίζει μεγίστην παρὰ θάλασσαν καὶ λιμένα ποιεῖ. καὶ διδάξας αὐτοῖς τὴν τῶν ἀνθρώπων ἀρχὴν ἄρχεσθαι, βασιλέα τε αὐτοῖς ἐξ αὐτῶν καταστήσας, διῆλθε τὴν χώραν ἐκείνην δι' ἡμερῶν ἑκατόν, προστάξας τοῖς ἄρχουσιν αὐτοῦ καὶ παντὶ τῷ στρατῷ ἀπαρτισμὸν

ε 26,1 = γ II 31. Hoc cap. etiam in K, qui post *πῦρ ἐξήρχετο ἐξ αὐτῶν* (= β II 36 p. 130,2 Bergson) pergit *διελθόντες δὲ* etc., sicut ε

1 *κόσμον* Kγ Mgr: om. Q, sed add. *τόπον* ante *ἀνθρώπους* | *κατελάβομεν* γ (R): *καταλάβομεν* K: *κατέλαβον* QD **2** *εὑρόντες* Kγ: om. Q **3** post *ἄνθρωπον* add. *οὐχί, ἀλλὰ* γ: om. QK | *ἕνα* QK: *μίαν* γ **4** *παρακαλοῦντες* KD: *λέγοντες* QC: om. R **5** *ἐπὶ* delevi | *Ἀλέξανδρον* Q: *-δρε* K: *-δρος* γ **5–6** *ἐφιδὼν* K: *ἐπιδόντα* Q: om. γ, sed *ἐμβλέψας* add. ante *εἰς τὴν αὐτῶν* **6** *εὐτελῆ* QK: om. γ | *εἰρήνην* γ: *τὸ εἰρήνην* Q: *ἐν εἰρήνῃ* K **8** *ἐκεῖσε* Q: *-θεν* Kγ | *διατρίψας* Kγ: *-ψαι* Q | *ἱκανὰς ἡμέρας* Kγ: inv. in Q. | verba ab *ἀνεζωπυρήθη* usque ad initium cap. 27 (*καὶ τούτου γενομένου*) non praebet γ *ἀνεζωπυρήθη* Q: *-θην* K **10** *ποιεῖ* Q: -*εῖν* K | *καὶ* K: om. Q **11** *αὐτοῖς* K: *αὐτὴν* Q

ἐνιαυτοῦ ἔχειν. ἐξ αὐτῶν δὲ τῶν σμικροτάτων ἀνθρώπων ἄρας πλείστους πρὸς ἐπίδειξιν τῆς οἰκουμένης ἐξήνεγκεν. ἐκεῖθεν δὲ ἅπαν τὸ στράτευμα συγκομίζουσι τὴν ἑαυτῶν αὐτάρκειαν, ἀλλήλους διερχόμενοι ἐπεφώνουν τὸν πάντα λαὸν τὸν ἑαυτοῦ ἔχειν ἀπαρτισμόν.

27

(1) Καὶ *τούτου γενομένου ὥρμησε πάλιν τὴν ἀοίκητον γῆν, καὶ διελθῶν δι' ἡμερῶν δέκα φθάνει τινὰ ἐν πεδίῳ τόπον, τῷ τε μήκει καὶ πλάτει ἀνείκαστον. ἐν αὐτῷ δὲ ἀναπαῦσαι τὸν στρατὸν ἔδοξεν. καὶ περιβλεπόμενος ὕδωρ ἐζήτει καὶ δὴ ὁρᾷ λίμνην, καὶ ἀπελθὼν ὁρᾷ στήλην παμμεγέθη ἐν πέτρᾳ ἐκ ψή-*

---

1 *δὲ* Q: om. K 2 post *ἐξήνεγκεν* redit K ad rec. *β*, verbis *τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ ὁδεύσαμεν πλαζόμενοι* (= *β* II 37 p. 130,3 Bergson), et eam sequitur usque ad *θέλω⟨ν⟩ ἰδεῖν τὸ τέλος τῆς γῆς* (= p. 131,6 sq. Bergson). Deinde iterum rec. *ε* pergit K. 3 *αὐτάρκειαν* K: *ἀπαρτίαν* Q 4 post *ἀλλήλους* add. *δὲ* K: om. Q 5 *τὸν ἑαυτοῦ* Q: *ἐν αὐτοῦ* K: fortasse scrib. *ἐνιαυτοῦ* | post *ἔχειν* add. *τροφὰς καὶ* K: om. Q | *ἀπαντησμόν* K

ε 27 = *γ* II 31; cap. etiam in K

6 verbis *ὥρμησε πάλιν* denuo incipit *γ* 7 *διελθὼν* Q: *διῆλθεν* K: om. *γ* | *δι'* *γ*: om. QK | *δέκα* K*γ*: *πεντήκοντα* Q | *ἐν πεδίῳ* QK: *πεδινὸν* *γ* 8 *τῷ τε μήκει καὶ πλάτει* Q*γ*: *τό τε μῆκος καὶ πλάτος* K | *ἀναπαῦσαι* K*γ*: *-ειν* Q 10 *καὶ ἀπελθὼν* QK: *ἐγγὺς δὲ ταύτης γενόμενος* *γ* | *ἐν πέτρᾳ* K*γ*: *ἐκ πέτρας* Q | *ἐκ* K*γ*: *καὶ* Q 10–p. 95,1 *ψήφων* *γ*: *ψηφῶν* K: *ψήφου* Q

φων ἐνιδρυμένην. ὡς οὖν εἶδεν εὐθέως πλησίον τῆς στήλης γενόμενος ἐκεῖσε τὴν σκηνὴν ἔπηξεν.

(2) Ἡ δὲ στήλη γράμμασιν Ἑλληνικοῖς ἐπεφέρετο, ἡ δὲ γραφὴ τῆς στήλης ἐδήλου τὴν ἐνέργειαν Σεσόγχου τινὸς νῦν κοσμοκράτορος. τὸ δὲ ὁμοίωμα ἦν ἀνδρὸς νεαροῦ τὰ πάντα Ἀλεξάνδρῳ ἀφομοιώμενον, ἐγράφη δέ· μέχρι τῶν ἐκεῖσε καταλαβεῖν ἐστι⟨ν⟩ ἂν ἀνθρώποις ὄντα, ὃς πᾶσαν περιελθὼν γῆν {ἐκεῖσε τελευτῆσαι καὶ ταφῆναι ἔνθα ἡ στήλη ἥδρασται, ἐγρά-

1 ἐνιδρυμένην Kγ: ἱδρυμένην Q | καὶ ηὗρεν πρόσωπον εἰς τὸν στῦλον ἱστορισμένον μὲ χρυσάφιν καὶ ηὗρεν κόκαλα καὶ κεφάλια ἀνθρώπων ὁλογιομάτος ὁ κάμπος Mgr | στήλης Q: λίμνης K: ταύτης γ 2 γενόμενος Q: ἐγένετον γ: -το καὶ K | ἐκεῖσε — ἔπηξεν QK: om. γ 3 ἐπεφέρετο Kγ: ὑπ- Q 4 γραφὴ τῆς στήλης Kγ: στήλη Q | ἐδήλου QC: -λει Kγ | Σεσόγχου Q: Σεσογχόσου Kγ | νῦν Kγ: om. Q 6 Ἀλεξάνδρῳ QC: -δρου γ: -δρος K | ἀφομοιώμενον γ: ἀμφομοιουμένην K: ἐξομοιώμενος vel -ον Q | ἐγράφη Q: ἔγραφε K: ἐγεγράφει γ inscriptio statuae corrupta et ‚in orationem obliquam male transposita' (Engelmann); versus restituere nolui ἄνθρωπε, ὅποιος ἔρχεται πρὸς τὴν ἄκραν τῆς γῆς, ὡς ἐδῶ ἔλα καὶ ὀμπρὸς μηδὲν ὑπαγαίνης, καὶ γύρισε ὀπίσω, τίποτες οὐδὲν θέλεις ἰδεῖν. ἐγὼ ἤμουν βασιλεὺς τοῦ κόσμου ὁλονοῦ ὁ Σωνσόχος, καὶ ὑψώθηκα πολλὰ καὶ ἤθελα νὰ ἐβρῶ τῆς γῆς τὴν ἄκρα, καὶ εἰς ἐτοῦτον τὸν κάμπον ἦλθαν ἄγριοι ἄνθρωποι, καταπάνω εἰς τὸ φουσᾶτον μου καὶ τὸ ἐτζάκισαν καὶ ἐμένα ἐσκότωσαν Mgr 7 ἐστι ἂν K: ἔτι Q: τις γ | ἀνθρώποις QK: τῶν ἀνθρώπων γ | ὄντα Q: -τος K: om. γ | γῆν QK: γαῖαν γ **8–p. 96,1** ἐκεῖσε — ἐγράφετο δέ fortasse post ἀνθυποστρέψας transponenda sunt 8 ταφῆναι Q: -εῖν K | ἥδρασται K: ἵδρυται vel -το Q

φετο δὲ} τῶν ἐπέκεινά τινα μὴ δύνασθαι ἐλθεῖν, ὡς κἀμὲ ἀπορήσαντα μὴ δυνηθῆναι προέρχεσθαι ἀνθυποστρέψας ἐνταῦθα τοῦ ζῆν ἐξίεμαι Σεσόγχοσις ἐγὼ κοσμοκράτωρ.

(3) Ταῦτα *ἀναγνοὺς* Ἀλέξανδρος *εὐθέως τὴν γραφίδα περιεκάλυψε πέπλοις ὡς δῆθεν τὴν εἰκόνα τιμῶν. τοῦτο δὲ ποιεῖ διὰ τὸ μηδένα* Μακεδόνων *τοῖς γράμμασιν ἐντυχεῖν καὶ δειλία αὐτοὺς καταλάβῃ. ἔλεγε δὲ μᾶλλον χρησμὸν ἐκ τῆς εἰκόνος δέξασθαι·*

Ἐὰν τῶν ὧδε διέλθῃς, Ἀλέξανδρε,
{ἕτερον} κόσμον εὑρήσεις κρείττονα οὗ διῆλθες {κόσμον}.

ταῦτα δὲ διὰ τὸ θαρσηροὺς ποιῆσαι Μακεδόνας *εἶπεν* Ἀλέξανδρος.

---

1 *τῶν* Kγ: *τοῦτο* Q | *τινὰ* QK: *δὲ* γ | *ἐλθεῖν* Kγ: *διελθεῖν* Q 2 *προέρχεσθαι* QC: *διέρχεσθαι* Kγ 3 *ἐξίεμαι* Qγ: *ἐξίεμεν* K | *Σεσογχός ἧς* vel *εἷς* codd. 4 *τὴν γραφίδα* γ: *τῇ γραφίδι* K: *τὴν γραφὴν* Q 5 *τὴν εἰκόνα* Kγ: *τῇ εἰκόνι* Q *τὸν στῦλον ὅλον ἐσκέπασεν μὲ ροῦχον* Mgr 6 post *μηδένα* add. *τῆς εἰκόνος* K: *τῶν* γ: utrumque om. Q | *ἐντυχεῖν* Q γ: *-χὼν* K | *καὶ* Q Kγ: *μὴ* Engelmann 7 *αὐτοὺς* Q: *ἑαυτοὺς* γ: *ἑαυτῷ* K | *καταλάβῃ* Q γ: *καταβάλῃ* K | *ἔλεγε* Kγ: *-γον* Q 10 *κρείττονα* Q γ: *-σσ-* K *ἕτερον* et *κόσμον* delevi | *οὗ διῆλθες κόσμον* QK: codd. rec. γ alius aliter: *ὀμπρὸς μᾶς δείχνουν τόπον ἔμνοστον καὶ γλυκύν, καὶ μὲ τὰ λόγια ἐτοῦτα τοὺς ἐγέλα* Mgr 11 post *ταῦτα δὲ* add. *ἐλάλειν* K: *ἔλεγεν* γ: om. Q | *διὰ* QK: *ἵνα* γ | *τὸ* Kγ: *τοῦ* Q | *θαρσ. π. Μακ.* QK: *στρατόπεδον προθυμότερον ἀπεργάζοιτο* γ | *εἶπεν Ἀλ.* om. Kγ | deinde in K insequitur ε 29,1: *ἐκεῖθεν δὲ διελθὼν* (add. scriba) *δι' ἡμερῶν πέντε εἰς ἑτέραν κατέλαβεν γῆν* etc. vide infra p. 101

28

(1) Διατρίψας δὲ ὅμως ἐκεῖσε ἡμέρας τρεῖς ἀπάρας ᾤχετο τῆς ὁδοιπορίας. καὶ δι' ἡμερῶν δέκα ἐμπεριπατήσαντες καταλαμβάνει τόπους πάνυ λείους. ὡς δὲ αἱ φάλαγγες ἐπεκτάνθησαν τῇ πεδιάδι Μακεδόνες ἐπισπαρέντες ἄνθρωποι τούτοις ἐμφαίνονται ἄγριοι ἐπὶ πετρῶν καθεζόμενοι, γυμνοὶ μέν, δασεῖς δέ, φοβεροί, εὐμεγέθεις, μέλανες, ἀλλ' οὐ κατὰ κράτος εἶχον τὸ μέλαν. τρίχαι δὲ αὐτοῖς χονδραὶ τεταμέναι, μέγεθος ἑκάστῳ ὡσεὶ ἀνδρῶν δύο. ἅμα δὲ Μακεδόνες ἐπήρχοντο αὐτοῖς, αὐτοὶ ἐκ τόπου εἰς τόπον μεταβαίνουσι καὶ τὸν σκοπὸν ἐν ταῖς φάλαγξιν εἶχον. ἐλθόντες οἱ Μακεδόνες ταῦτα τῷ Ἀλεξάνδρῳ λέγουσιν, ὁ δὲ τῆς φάλαγγος ἐξελθὼν κατέλαβεν ἔνθα οἱ ἄνδρες ἐκαθέσθησαν.

(2) Ὡς εἶδεν αὐτοὺς πάνυ ἀμερίμνως περὶ αὐτὸν ἔχοντας καὶ μόνον τὴν φάλαγγα σκοποῦντες, κελεύει δὲ κόρην εὐειδῆ

ε 28 = γ II 33

1 δὲ ὅμ. ἐκ. Q: οὖν ἐκεῖσε ὅμως γ | οἴχετο Q **2** ἐμπεριπατήσαντες Q: -σας D: -τοῦντος R: om. C **3** τόπους πάνυ λείους ε: εἰς ἕνα βουνὸν ὑψηλόν Mgr **3–4** ἐπεκτάνθησαν γ: ἀπ- C: ἀπετάθησαν Q **4** ἀνθρώποις Q **6** οὐ γ: οὐδὲ Q **7** εἶχον τὸ μέλαν om. γ | τρίχαι QR: τρίχες DC **8** ἑκάστῳ γ: ἕκαστος Q | ὡσεὶ ἀνδρῶν δύο Q: παντὸς ἀνδρὸς ὑψηλότερον γ | ἐπήρχοντο Q: ἐπεισέρχονται ut vid. γ **8–9** αὐτοῖς γ: om. Q **9** μεταβαίνουσι Q: μεταβαίνοντες ἐκάθευδον γ **10** ταῖς φάλαγξιν γ: τοῖς φάραξιν Q | οἱ Q: δὲ γ **11** ὁ δὲ Ἀλέξανδρος γ **12** ἐκαθέσθησαν Rohde: ἐκάθευδον Q γ **14** τὴν φάλαγγα Q: ταῖς φάλαγξιν γ | δὲ om. γ, hic incipit K verbis καὶ κελεύει ἐκδυθῆναι γυναῖκα εὐειδῆν καὶ πρὸς αὐτὸν ἐνεχθῆναι, ὅπως ἴδῃ etc. sicut ε (cf. β II 33 p. 128,5 Bergson) | εὐειδῆ Q γ: -δῆν RK

ἐνεχθῆναι. καὶ λέγει αὐτῇ Ἀλέξανδρος· πρὸς τὸν ἄνθρωπον πλησίασαι, ὅπως ἴδῃ τὴν τοῦ ἀγρίου ἀνδρὸς ἐκείνου διάθεσιν, εἰ ὅλως ἀνθρωπίνη φύσις ἐστὶν ἐν αὐτῷ. ἡ δὲ γυνὴ πλησίον αὐτοῦ γενομένη, ὡς περιστραφεὶς εἶδεν αὐτὴν εὐθέως ἀνίσταται καὶ λαβόμενος αὐτὴν ἤρξατο κατεσθίειν. Ἀλέξανδρος δὲ τοῖς στρατιώταις κελεύει ἀπελθεῖν καὶ ταύτην ἑλέσθαι τοῦ θηρός. οἱ δὲ στρατιῶται ἐπιδραμόντες αὐτῷ, οὐκ ἐφρόντισε τὸ σύνολον περὶ αὐτῶν, ἀλλὰ τὸ στόμα ἐπὶ τῶν μηρῶν τῆς κόρης ἔχων ἔβλεπεν εἰς αὐτούς, δίκην κυνὸς κατεσθίων αὐτήν. οἱ δὲ στρατιῶται τοῖς δόρασιν ἔπληξαν αὐτὸν καὶ εὐθέως ἀνίσταται καὶ καταλιπὼν τὴν κόρην ἡμιθανῆ ἔτρεχε καὶ φωνῇ κυνικῇ ἔκραζεν. οἱ δὲ λαβόμενοι τὴν κόρην πρὸς Ἀλέξανδρον ἤνεγκαν καὶ τῇ φάλαγγι ἀπεκόμισαν.

(3) Παραχρῆμα δὲ πλήθη ἐμφαίνονται ἄπειρα ἐκ τῶν ἀγρίων ἀνθρώπων, ξύλα ταῖς χερσὶν ἔχοντες καὶ λίθους, καὶ τῇ

---

1 post ἐνεχθῆναι add. ἐνεχθείσης γ | καὶ Q: δὲ γ 2 ἴδῃ QKC: ἴδῃς γ | ἀνδρὸς Kγ: θηρὸς Q 3 ἐν αὐτῷ Qγ: ἑαυτῷ K 6 τοῖς στρατ. κελ. QK: κελεύει διὰ τάχους τοῖς στρατιώταις γ | ἀπελθεῖν καὶ Q: ἐπελθόντες K: om. γ 9 κατεσθίων αὐτήν QK: αὐτὴν κατήσθιεν γ 10 οἱ ... αὐτὸν QK: εἷς δὲ στρατιώτης τῷ δόρατι τοῦτον πλήξας γ 11 καὶ K: om. Q γ | ἡμιθανῆν K 11–12 φωνῇ κυνικῇ Kγ: inv. in Q 12 ἔκραζεν Q: ἐκραύγαζεν D: ἔλεγεν RK: ἐλάλει C: ἔσκουξε Mgr: ἐταρτάρισε β Byz: καχάζων Arm 14 ἐμφαίνονται Kγ: ἐκ- Q deinde add. e β ἐκ τοῦ ἕλους ἄνδρες ὡς μύριοι ἡμεῖς δὲ τυγχάνομεν μυριάδες τέσσαρες K 14–15 ἄπειρα ... ἀνθρώπων om. K | post ἀνθρώπων add. ἐκείνων γ 15 αὐτοὶ δὲ ἐν ταῖς χερσὶν ἔχοντες ξύλα K | καὶ λίθους Kγ: om. Q

προτέρᾳ πλησιάσαντες φάλαγγι γενναίως ἐμάχοντο. ὡς δὲ Ἀλέξανδρος εἶδεν, κελεύει τοῖς ὁπλίταις ἅμα καὶ τοξευταῖς πρὸς μάχην παραστῆσαι. πολέμου δὲ σφοδροῦ συγκροτηθέντος ὁσάκις τις ἐξ αὐτῶν ἐτιτρώσκετο, εὐθέως ὑπὸ τῶν ἑτέρων διεμερίζετο καὶ κατεσθίετο. καὶ ὅσον ὁ πόλεμος συνήπτετο, τοσοῦτον εἰς πλῆθος πλεῖστον ἐγένοντο καὶ ἐπικρατέστεροι μᾶλλον ἦσαν. δειλία δὲ Μακεδόνας κατέλαβεν, φόβος καὶ τρόμος εἶχεν αὐτοῖς. Ἀλέξανδρος δὲ εἱστήκει ἐννοῶν πῶς ἂν αὐτοῖς τροπώσηται. ἐπὶ πάσαις οὖν ταῖς συμβολαῖς τριάκοντα στρατιῶται ἀνῃρέθησαν, ἐξ αὐτῶν δὲ πλήθη πολλά, ἀλλ' ὅσον ἀπέθνησκον, πλείονες ἐπισυνήγοντο καὶ μειζόνως ἐθρασύνοντο. ὁ δὲ φρενήρης Ἀλέξανδρος προστάσσει ἄφνω πῦρ ἀνάψαι καὶ τούτοις ἐπιδραμεῖν.

(4) Οἱ δὲ ὡς εἶδον τὸ ἀσύνηθες τοῦ θεάματος εὐθέως εἰς

---

1 προτέρᾳ πλησιάσαντες Kγ: om. Q 2 εἶδεν QK: ἐθεάσατο γ | καὶ τοξευταῖς Kγ: τοῖς τοξόταις Q 3 παραστῆσαι corr. e παραρῆσαι Q: παραστήσας K: -σασθαι γ | συγκροτηθέντος γ: -θέντων K: -τισθέντος Q 4 ὁσάκις τις scripsi: ὡς ἄν τις Kγ: ὅστις ἄρα D: ὅσον τις Q | ἐτρώσκετο K | εὐθέως post ἑτέρων transp. Q 5 καὶ om. Q 6 εἰς πλῆθος πλεῖστον K: εἰς πλῆθος γ: πλεῖστοι Q 7 ἦσαν QK: καὶ προθυμότεροι γ | Μακεδόνας Qγ: Μακεδόσιν K | post φόβος add. γὰρ γ: δὲ K 9 στρατ. ἀνῃρ. inv. in QD 11 πλείονες corr. e πλείονος K: πλείους Q: ἐπὶ πλεῖον γ | ἐπεσυνάγοντο K 12 ἄφνω Kγ: om. Q 13 τούτοις ἐπιδραμεῖν Q: οὕτως ἐπιδραμὼν K: ἐπιδραμὼν ἐπ' αὐτούς γ 14 οἱ δὲ ὡς QK: ὡς δὲ γ | θεάματος Q: θαύματος Kγ | εὐθέως Kγ: ἔνθεν Q

ψυγὴν τρέπονται. καὶ ἐπιτρέχει ἐπ' αὐτοῖς ἅπαν τὸ πλῆθος καὶ οὐ κατέλαβον ἐξ αὐτῶν οὐδένα· ἦσαν γὰρ κοῦφοι τοῖς ποσὶν δίκην χελιδόνος χαμαὶ ἱπταμένης. μόλις δὲ Ἀλέξανδρος τῷ Βουκεφάλῳ *ἐποχούμενος ἵππῳ φθάνει παῖδα ἕνα καὶ τούτου γενόμενος ἐγκρατὴς ἄγει ἐπὶ τὸ στράτευμα. ἦν δὲ χρόνων τὸ δοκεῖν ὡσεὶ δώδεκα, ἀλλ' ὑπῆρχεν ὑπεράνω παντὸς ἀνδρός.*

(5) Τῆς *δὲ νυκτὸς ἤδη καταλαβούσης καὶ τοῦ φοσσάτου σκηνοποιοῦντος τὰ πρὸς ἀνάπαυσιν ἦσαν πάντες εὐτρεπιζόμενοι. ἦσαν γὰρ ἐκ τοῦ πολέμου κεκοπιακότες. δεινῶς δὲ ἔχοντες πρὸς Ἀλέξανδρον ἦλθον λέγοντες*· Μηκέτι, *βασιλεῦ* Ἀλέξαν*δρε, προσχωρεῖν. οὐ γὰρ δυνησόμεθα τοιούτους ἀνθρώπους διεξελθεῖν. καὶ μήπως τῆς τύχης ἡμᾶς καταλάβῃ τὸ πέρας, ὁπόταν ⟨τὸν⟩ κόσμον ὑπετάξαμεν; μήπω κορεσθέντες ἑαυτοὺς βορὰν ἀγρίων οὐ θηρίων ἀλλ' ἀνθρώπων πεποιήκαμεν. καὶ τοῦτο ἡμῖν διπλοῦν τὸ κακόν, ὅτι οὐδὲ μνήμη ἡμῶν ἐν κόσμῳ γενήσεται. — ἐπὶ τούτοις ἀγανακτήσας* Ἀλέξανδρος *ἔφη*· Οὐκ *ἐμὸν τὸ ἀντιστρέφεσθαι, ἀλλὰ τῇ τύχῃ δοτόν. καὶ γὰρ πολλάκις βουληθεὶς τοῦτο οὐ συγκεχώρημαι. χρεὼν δὲ ἡμῖν ἐστιν*

---

1 ἐπιτρέχει ἐπ' αὐτοῖς (αὐτοὺς Q) QK: *καταδιώκουσιν γ* | post *πλῆθος* redit K ad rec. *β* verbis *καὶ ἐδήσαμεν ἐξ αὐτῶν τετρακοσίους ἄνδρας οἱ καὶ ἀποκρατήσαντες τῆς τροφῆς διεφθάρησαν* : post *πλῆθος* add. *τῶν στρατευμάτων γ* **3** ἱπταμένης *γ*: *πετομένης* Q **4** ἵππῳ *γ*: om. Q | *φθάνει* Q: *καταφθάνει γ* | *παῖδα ἕνα* Q: *παιδὸς (παιδίου* D) *ἑνὸς γ* **5** ἐγκρατὴς om. Q **6** *δώδεκα* Q *γ*: *δέκα* Mgr **10–11** *βασιλεῦ* Ἀλέξανδρε *γ* Mgr: om. Q | *προσχωρεῖν* Q: *τὰ πρόσω χωρεῖν γ* **12** *διεξελθεῖν γ*: *ὑπεξ-* Q | *καταλάβῃ τὸ πέρας* om. Q **14** *ἀγρίων οὐ θηρίων ἀλλ' ἀνθρώπων* scripsi: *ἀγρίων* (om. *γ*) *οὐκ ἀνθρώπων ἀλλὰ θηρίων* Q *γ*: om. Mgr **15** *δέ ἐστιν ἡμῖν γ*

καθυπείκειν τῇ τύχῃ.

29

(1) Ἕωθεν οὖν ἀναστὰς τὴν ὁδοιπορίαν ἐποιεῖτο. διελθὼν δὲ τὴν τῶν ἀγρίων ἐκείνων ἀνθρώπων χώραν δι' ἡμερῶν πέντε εἰς ἑτέραν κατέλαβε γῆν ἔνθα στῆλαι ἑστήκασι δύο χρυσαῖ εὐμήκεις, τὸ δὲ εὖρος καὶ μῆκος σφυρήλατοι, μία μὲν ἀνδρὸς ἑτέρα δὲ γυναικός, ἃς περιτυχὼν Ἀλέξανδρος λέγει Ἡρακλέως στῆλαι αὗται καὶ Σεμιράμεως.

(2) Τῶν ἐκεῖσε οὖν διελθόντες ὀλίγον τι εὕροσαν καὶ τὰ Σε-

---

1 post τύχῃ add. καὶ μηδεὶς ἀναβαλλέτω. ἐπὶ τούτοις πάντες ἐσίγησαν, ἐπιδόσαντες ἑαυτοὺς τῇ τύχῃ γ: fortasse verba rec. ε omissa in Q propter homoeotel.

ε 29 = γ II 34

2 ἕωθεν γ: ὅθεν Q 3 τῶν γ: om. Q | a voce δι' ἡμερῶν etiam K (ἐκεῖθεν δὲ διελθὼν δι' ἡμ., cf. supra ε 27 in fine) | εἰς ἄλλον τόπον ἦλθαν ἔμνοστον καὶ ὄμορφον Mgr 4 κατέλαβε Q Kγ: κατελάβομεν R | στῆλαι εἱστήκεισαν γ: στῆλοι (melius στῦλοι scrib.) ἑστήκασιν Q: στήκασιν K 4–5 χρυσαῖ Kγ: χρύσεοι Q στῦλοι ἔμορφοι δύο ἀπὸ ἀγνὸν μάλαμα καμωμένοι Mgr 5 εὐμήκεις – σφυρήλατοι QK: om. γ | δὲ K: τε Q | σφυρήλατοι Q: -τον K ἐμοῦ δὲ μὴ πιστεύοντος, εἴ εἰσι σφυρήλατοι, ἔδοξέ μοι θῦσαι τῷ Ἡρακλεῖ A III 27 | μία QKC: ἡ μία γ 6 ἑτέρα δὲ QK: ἡ δὲ ἑτ. γ | ἃς Kγ: αἷς Q 6–7 Ἡρακλέως γ: Ὁρακλέος K: Ἰρακτέως Q 7 στῆλαι αὗται Kγ: inv. in Q | Σεμιράμεως Q γ: Σηραμένης K **8–p. 102,1** τῶν ἐκεῖσε – Σεμιράμεως (sic nunc etiam K) Kγ: ut haplographiam om. Q

μιράμεως βασίλεια, ἀοίκητα δέ. εἰσῄει οὖν Ἀλέξανδρος ἐν αὐτοῖς μετὰ τοῦ Μακεδονικοῦ στρατοῦ καὶ μόνου, Πέρσαι δὲ καὶ Αἰγύπτιοι πέριξ διανεπαύσαντο ἡμέρας τρεῖς.

(3) Καὶ τῶν ἐκεῖσε ἐξελθόντες δι' ἡμερῶν δέκα εὑρίσκουσι ἀνθρώπους ἑξάχειρας καὶ ἑξάποδας {πολλοὶ ἐξ αὐτῶν καὶ ἑπτάποδοι ἦσαν} πλῆθος ἀναρίθμητον, πάντες δὲ γυμνοί, οἵτινες ἰδόντες τὰ πλήθη τῶν φαλάγγων ἔδοξαν συνάγεσθαι. ὡς οὖν εἶδεν Ἀλέξανδρος κελεύει πῦρ ἀνάψαι καὶ ἐπέρχεσθαι αὐτοῖς. τούτου δὲ γενομένου καὶ μετὰ λαμπάδων πλῆθος αὐτοῖς ἐπιβάντες εὐθέως πάντες ἔφυγον καὶ ἐν σπηλαίοις κάτωθεν εἰσῆλθον τῆς γῆς. κατεκράτησαν οὖν ἐξ αὐτῶν ἄνδρας θαῦμα μέγιστον ὄντας αὐτοὺς κατανοῆσαι. ἔχοντες οὖν αὐτοὺς ἤλθοσαν ὁδὸν ἡμέρας μιᾶς, διὰ δὲ τὸ μὴ εἶναι αὐτοὺς συνδιαίτους ἀνθρώπων ἐξαίφνης συντρομάξαντες καὶ βοήσαντες ἀπέθανον.

---

1 *ἀοίκητα* γ: *-τον* Q: *-τος* K: *καὶ ηὗρεν τὲς αὐλὲς τοῦ Ἡρακλείου ἔρημες* Mgr | *δὲ εἰσῄει* Qγ: *εἰσὼν* K, qui hic habet subscriptionem *ἔνθα Ἀλέξανδρος εὑρὼν τὴν στήλην Σέσουχος κοσμοκράτορος καὶ τῆς* (*τοῦ* K) *Σηραμέος βασίλεια εὑρὼν ἀοίκητα*, postea denuo pergit *ἐκεῖθεν οὖν διελθόντες ἔρημον ὡδεύσαμεν ἐπὶ θάλασσαν* sicut β II 38,8 Bergson 1–2 *ἐν αὐτοῖς* Q: *εἰς αὐτὰ* γ 4 ad ε 29,3 add. aliqua per se C 5–6 *πολλοὶ – ἑπτάποδοι* Q inepte: om. γ Mgr 7 *τὰ πλήθη τῶν φ.* Q: *τὸ πλῆθος τῆς φάλαγγος* γ 8 *κελεύει* Q: *ἐκέλευσεν* γ | *ἀνάψαι* Q: *ἀνάπτειν* γ 9–10 *καὶ μετὰ – ἐπιβάντες* om. γ 11 *ἄνδρας* Q: *ἄνδρα ἕνα* γ; *πολλοὺς ἐπίασαν ζωντανούς* Mgr 12 *ὄντας αὐτοὺς* Q: *ὡς ἦν αὐτὸν* γ | *οὖν αὐτοὺς* Q: *δὲ αὐτὸν* γ | *ἤλθοσαν* om. γ 13 *διὰ δὲ* Q: *καὶ διὰ* γ 13–14 *αὐτοὺς συνδ. ἀν.* Q: *αὐτὸν μετά τινος συνδιαιτοῦντος αὐτῷ* γ 14 *συντρομάξαντες* Q: *-ντα* γ | *βοήσαντες* Q: *-σαντα* γ | *ἀπέθανον* Q: *ἀπέψυξεν* γ

(4) Μετὰ οὖν ὁδὸν ἡμερῶν τριῶν κατέλαβον χώραν Κυνοκεφάλων. αὐτοὶ μὲν οὖν τὰ πάντα ἄνθρωποι ἦσαν, κεφαλὴ δὲ αὐτοῖς πᾶσι κυνός, καὶ φωνή αὐτοῖς μέρος μέντοι ἀνθρώπινον, μερὸς δὲ κυνός, οἵτινες παραταξάμενοι ἑτοίμως εἶχον τὰ πρὸς πόλεμον. ἀλλ' οὖν καὶ αὐτοὺς τῷ πυρὶ Ἀλέξανδρος ἐτροπώσατο. δι' ἡμερῶν δὲ περιπατήσαντες δέκα μόλις τὴν τῶν Κυνοκεφάλων διῆλθον χώραν.

(5) Διελθόντες δὲ τὴν χώραν αὐτῶν τόπον κατέλαβον παραθαλάσσιον, κἀκεῖ ἄπληκτον ποιησάμενος ἔδοξε τὸν στρατὸν ἀναπαῦσαι. κύκλῳ δὲ τὸ φοσσᾶτον κατοχυρώσαντες τοῖς ὅπλοις, ἐκέλευσε ταῖς ἀσπίσι φρουρεῖν ὑπεράνωθεν τῆς διώρυγος. τινὸς δὲ ἵππον συνέβη τελευτῆσαι καὶ κατὰ θάλασσαν ῥιφῆναι. καρκίνος δὲ τῆς θαλάσσης ἀναδὺς τῷ χαλινῷ αὐτοῦ τὸν τεθνηκότα ἵππον ἁρπάσας τῇ θαλάσσῃ κατέδυ. ἐξῆλθον δὲ ἕτερα πλήθη πολλὰ καὶ ἥρπαξον τοὺς ἀνθρώπους καὶ τοὺς ἵππους.

---

1 κατέλαβον Q γ: κατελάβομεν R | Σκύνο- vel Σκυλοκέφαλοι Mgr **2** μὲν Q: om. γ | δὲ αὐτοῖς Q: αὐτῶν ut vid. γ **3** καὶ φωνὴ ... κυνός γ: om. Q: καὶ ἡ φωνή τους ἐλάλουν ἀνθρωπινά, καὶ ἄλλην φορὰν βαβίζουν ὡσαὶ σκύλοι Mgr **4** παραταξάμενοι γ: om. Q **5** τῷ πυρὶ Ἀλ. Q: inv. in γ **6** περιπατ. Q: ἐμπεριπ. γ **7** διῆλθον Q γ: διήλθομεν R **8** διελθόντες – αὐτῶν om. γ | τόπον Q: τόπον τινά γ | κατέλαβον QD: –ομεν R: –όντες C **9** ποιησάμενος Q: -νοι γ καὶ αὐτοῦ ἔκαμεν πέσιμον μὲ τὸ φουσᾶτον του νὰ ἀναπαυτοῦν Mgr **10** τὸ φοσσ. Q: τοῦ φοσσάτου γ **12** κατὰ Q: πρὸς γ **13** χαλινῷ γ: χαλίῳ Q **14** κατέδυ Q: εἰσέδυ γ (DC): ἔδυ R **14–15** ἐξῆλθον – ἵππους Q: om. γ cf. μία καραβίδα ἐξέβη ἐκ τὴν θάλασσαν καὶ ἔφαγεν καὶ ἐχόρτασεν, καὶ ἐγλύκανεν τὲς ἑτέρες καραβίδες καὶ ἐξεβαίναν τὴν νύκταν, καὶ ἔδραχναν ἄλογα καὶ ἀνθρώπους καὶ ἔμπαξάν τους εἰς τὴν θάλασσαν Mgr

ὁ λόγος διῆλθεν ἐπὶ Ἀλέξανδρον· αὐτὸς δὲ κελεύει πῦρ ἀνάψαι κύκλωθεν τοῦ φοσσάτου εἰς πλῆθος. τούτου δὲ γενομένου διασῴζονται τῆς τῶν ἐναλίων ζῴων ἐπιδρομῆς.

30

(1) Ἐκεῖθεν οὖν διελθόντες καταντῶσιν εἰς τόπον τινὰ ἀλσώδη μέν, καλὸν δέ, παντοίων ὀπώρων καρπὸν ἔχοντα. παράλιος δὲ κἀκεῖνος ἦν. ὡς οὖν εἶδεν Ἀλέξανδρος ἐκεῖ διαναπαύει τὸν στρατόν. τοῦ δὲ φοσσάτου παγέντος ἐξῄει Ἀλέξανδρος παρὰ τὴν θάλασσαν· καὶ δὴ ὁρᾷ νῆσον ἐν τῇ θαλάσσῃ ὡς ἀπὸ σταδίου τῆς γῆς ἀπέχοντα. ἔδοξε δὲ αὐτὸν εἰσελθόντα τὴν νῆσον θεάσασθαι. κελεύει δὲ ξύλα ἐνεχθῆναι καὶ ναῦς κατασκευάσαι, καὶ διὰ πολλοῦ τοῦ τάχους Αἰγύπτιοι τὰς ναῦς κατεσκεύασαν.

---

1 ὁ Q: καὶ ὁ γ | διῆλθεν Q: ἦλθεν γ | ἀνάψαι Q: ἀνάπτεσθαι γ ὥρισεν καὶ ἄναψαν τὸ βάλτον ὁποῦ ἦσαν οἱ καραβίδες Mgr 2 κύκλωθεν Q: κύκλῳ γ | φουσάτου Q 2–3 διασῴζονται Q: om. γ, sed add. post ἐπιδρομῆς, λελυτρώμεθα R, ἐλυτρώθησαν C, ἐρρύσθησαν D

ε 30, 1–3 = γ II 35

4 οὖν Q: δὲ γ | εἰς τόπον τινὰ γ: τόπον Q 4–5 ἀλσώδη γ: νησώδη Q 6 κἀκεῖνος ἦν Q: ἦν ὁ τόπος ἐκεῖνος ut vid. γ | ἐκεῖ Q: κἀκεῖ γ | διαναπαύει Q: – σαι γ 7 post στρατὸν add. παρακελεύεται γ | παγέντος γ: πηγ- Q 9 σταδίου Q: σταδίων ἕξ γ | ἀπέχοντα γ: ἔχοντα Q: ἀπέχουσαν C 9–10 τὴν νῆσον γ: τῇ νήσῳ Q 10 ξύλω Q | ναῦς Q: ναῦν γ 10–11 κατασκευάσαι Q: -σθῆναι γ 11 οἱ Αἰγ. γ | τὰς ναῦ Q: τὴν ναῦν γ: correxi

(2) Μέλλοντα δὲ ἐξιέναι Ἀλέξανδρον καὶ ταῖς ναυσὶν εἰσιέναι τοῦτον ἐκώλυσε Φίλων ὁ φίλος αὐτοῦ εἰπών· μηδαμῶς τοῦτο ποιεῖν, ἀλλὰ πρῶτον ἐν μιᾷ νηῒ ἐγὼ ἀπέλθοιμι καὶ εἰσελθὼν τὴν νῆσον θεάσομαι. καὶ εἰ μὲν σωθεὶς ἐπανήξω, τότε καὶ σὺ ταῖς λοιπαῖς ναυσὶν ἐπιβὰς τὰ δοκοῦντά σοι ποίει. – ἐπὶ τούτοις Ἀλέξανδρος ἐπένευσε καὶ τῷ Φίλωνι ἔφη· ἀλλ' οὐδέ σε θελήσαιμι πρῶτον εἰσελθεῖν τὸν ἐμοὶ φιλούμενον, μήπως καὶ σὺ δυστυχήσειας. καὶ τίς μοι φίλος τὴν σὴν παρηγορήσειε λύπην;– ὁ δὲ Φίλων φησίν· εἰ μὲν Φίλων ὁ φίλος τοῦ βασιλέως τελευτήσειε, εὑρεῖν ἂν ἔχοι ὁ βασιλεὺς φίλον ἕτερον Φίλωνα, εἰ δὲ Ἀλέξανδρον συμβῇ τι παθεῖν, ὅλος ὁ κόσμος ἐδυστύχησεν.

(3) Ὡς οὖν ταῦτα εἶπεν Φίλων εἰσέδυ τῇ νηῒ καὶ τὴν νῆσον καταλαβὼν εὗρεν ἐν αὐτῇ ἀνθρώπους ὁμοίους ἡμῖν κατὰ πάντα, τῇ Ἑλληνίδι φωνῇ διαλεγομένους. πρὸς αὐτοὺς δὲ θεασάμενος ὁ Φίλων εὐθέως πρὸς Ἀλέξανδρον ἀνθυποστρέφει τὰ τῆς νήσου διηγούμενος. ἀκούσας δὲ ταῦτα Ἀλέξανδρος ἔλαβε μεθ'

1 μέλλοντα – εἰσιέναι Q: μέλλων δὲ Ἀλ. εἰσιέναι καὶ πρὸς τὴν νῆσον (ἀπο- D, ἐκ- C) πλεῦσαι γ 2 τοῦτον ἐκώλ. Q: inv. in γ 3 ἐν μιᾷ νηῒ om. γ μία Q | ἀπέλθοιμι γ: εἰσέλθοιμι Q | εἰσελθὼν scripsi: ἀπελθὼν Q: om. γ 4 θεάσομαι Q: -σασθαι γ | σωθεὶς Q: δωθησόμενος γ 5 ταῖς λοιπαῖς ναυσὶν om. γ | τούτοις Q: τούτῳ γ 6 ἐπένευσε καὶ om. γ | σε γ: om. Q 7 φιλούμενον Q: πεφιλημένον γ | σὺ γ: om. Q 8 post φιλος add. ἕτερος ἐν κόσμῳ ἢ τίς μοι γ: om. Q: ἐὰν πάθης ἐσὺ τίποτες, τίς νὰ μὲ παρηγορήση Mgr | τὴν σὴν ... λύπην Q: τῇ σῇ ... λύπῃ γ 9–10 τελευτήσειε γ: -τεῖεν Q 11 τι παθεῖν Q: inv. in γ et add. τῶν ἀπροσδοκήτων | ὅλος ἐδυστύχησεν ὁ σύμπας κόσμος γ 12 ὁ Φίλων γ | τῇ νηῒ Q: τὴν ναῦν γ | τὴν νῆσον Q: τῇ νήσῳ γ | ἐν αὐτῇ om. γ 14 πρὸς αὐτοὺς δὲ Q: om. γ

ἑαυτοῦ τριάκοντα ναῦς, μία δὲ ἑκάστη αὐτῶν ἀνὰ πεντήκοντα ἄνδρας εἶχε. καὶ εἰσῆλθεν ἐν αὐτῇ, Ἀντίοχον δὲ ἀντ' αὐτοῦ καταλιπὼν ἡγεῖσθαι τοῦ στρατοῦ καὶ μέχρις ἂν ὑποστρέψῃ ἐν ἐκείνῳ προσκαρτερεῖν τῷ τόπῳ διὰ τὸ ἐπιτήδειον εἶναι εἰς διατροφὴν λαοῦ.

(4) *Ἐν τῇ νήσῳ ἐλθὼν εὗρεν ἀνθρώπους ὁμοίους αὐτῷ, γυμνοὺς δὲ πάντας. ὡς οὖν εἶδον αὐτὸν οἱ ἐν τῇ νήσῳ οἰκοῦντες ἦλθον λέγοντες· τί πρὸς ἡμᾶς ἧκας, Ἀλέξανδρε, τί δὲ παρ' ἡμῶν λαβεῖν ἠθέλησας; γυμνοὶ ἡμεῖς πάντες, οὐκ ἔχοντες παρ' ἡμῖν εἰ μὴ λόγων ἐνέργειαν. εἰ δὲ τοῦτο ἐπεθύμησας, ἕξεις παρ' ἡμῶν πλήθη λόγων, οὐδὲν γὰρ παρ' ἡμῖν ἕτερον παρευδοκιμεῖ.* —

---

1 *τριάκοντα – ἀνὰ* om. *γ* **2** *εἶχε* om. *γ* | *ἐν αὐτῇ* Q: *εἰς τὴν ναῦν γ* | *ἀντ' αὐτοῦ γ*: *ἐνταῦθα* Q **3** *τοῦ στρατοῦ* Q: *τὸν στρατὸν γ* | *καὶ* Q: om. *γ* | *ὑποστρέψῃ* Q: *-ψειεν γ* | *ἐν γ*: om. Q

ε 30,4 = *γ* II 35 A p. 248,13–22 Engelmann **6** *ἐν τῇ ν. ἐλθὼν* Q: *ὁ δὲ Ἀλ. τὴν νῆσον καταλαβὼν γ* **7** *δὲ* Q: *δὲ τοὺς γ* | *οἰκοῦντες* om. *γ* **8** *ἦλθον* Q: *ἤλθοσαν πρὸς αὐτὸν ταῦτα γ* | *ἧκας γ*: om. Q | *δὲ* Q: *δὲ καὶ γ* **9** *οὐκ* Q: *καὶ παντελῶς οὐκ γ* **9–10** *παρ' ἡμῖν* om. *γ* **10** *τοῦτο* QC: *-του* R: *-των* D **10–11** *ἕξεις – παρευδοκιμεῖ* Q: *ταῦτα πολέμου οὐ δέεται γ* secundum *β* III 5 p. 144,1 Bergson cf. *πολλὰ τὰ ἔτη τὸν βασιλέα τὸν Ἀλέξανδρον, τοῦ κόσμου ὁλονοῦ. ἀμὴ τί ἦλθες πρὸς ἐμᾶς; ἐμεῖς ὅλοι γυμνοὶ εἴμαστεν καθὼς μᾶς ἐβλέπεις ἡ βασιλεία σου, καὶ τί θέλεις νὰ ἐπάρῃς ἀπὸ ἐμᾶς; ἐμεῖς μὲ τὰ ἤπωρα τοῦ νησιοῦ ζοῦμεν. Ἀλέξανδρος τοὺς ἀποκρίθη· τίποτα ἀπὸ ἐσᾶς οὐδὲν θέλω, μόνον διὰ θαῦμα ἦλθα νὰ σᾶς ἰδῶ. ἀμὴ δείξετέ μου πῶς ἐμάθετε τὸ ὄνομά μου, ὁποῦ ⟨πού⟩πετες οὐδὲν μὲ εἴδετε, καὶ πῶς ὁποῦ εἶστε εἰς ξένον τόπον συντυχαίνετε ρωμαϊκά;* Mgr

ἔκπληκτος δὲ γενόμενος Ἀλέξανδρος ἐπὶ τῇ τοῦ ὀνόματος κλήσει ἔφη· καὶ τί κρεῖσσον λόγου ἐστίν; οὐδὲν μὰ τὴν πρόνοιαν. αὐτάρκης δέ ἐστι λόγος εἷς ὑπὲρ χιλιάδας χρυσίου καὶ λίθων τιμίων.

(5) Ἐπισυναχθέντων δὲ πάντων παντοίοις λόγων ἐγκωμίοις κατέστεψαν τὴν κεφαλὴν Ἀλεξάνδρου. καὶ διελθὼν πᾶσαν τὴν νῆσον ὑπὸ πάντων εὐλογήθη. Γυμνοσοφιστὰς δὲ τούτους ὀνομάζει. ὑποδεικνύουσι δὲ αὐτῷ ἐνδότερον εἰσιόντα τὰς τῶν Μακάρων καταλαβεῖν νήσους. ὁ δὲ μὴ μελλήσας ἐκεῖθεν τὴν ὁδοιπορίαν ἐποιεῖτο, καὶ διελθὼν πορείας ἡμερῶν τριῶν νησίδιον καταλαμβάνει μικρόν. ἐκεῖ δὲ ἐπιβὰς στήλην ἵστησι χαλκῆν, κλεῖδα ἔχουσαν τῇ ⟨μιᾷ⟩ χειρί, τὴν δὲ ἑτέραν ἐπὶ τῇ τῶν Μακάρων ἐκτετακυῖαν ⟨νήσῳ⟩, ὡς δῆθεν δεικνύουσι.

---

1 ὁ Ἀλ. γ **2** λόγου ἐστίν Q: inv. in γ **3** αὐτάρκης Q: κρείσσων γ ε 30,5 solo in codice Q et in Mgr **8** τί πόλεμος ἔναι ἀπὸ δῶ καὶ ὀμπρός; καὶ αὐτοὶ ἀποκρίθησαν καὶ εἶπαν· ὅτι τίποτες πόλεμος οὐδὲν ἔναι, ἐκεῖ ὁποῦ τρέχει ὁ Ὠκεανὸς ποταμὸς ἐκεῖ εἶναι τὰ νησιὰ τῶν Μακάρων Mgr, qui deinde add. quaedam de origine beatorum (αὐτοὶ οἱ μακάριοι οἱ γυμνοὶ εἶναι ἀπὸ τοῦ Σὴθ ἐγγόνια τοῦ Ἀδὰμ καὶ τῆς Εὔας) **12** χαλκῆν corr. e χαλκοῦν Q | μιᾷ addidi | τὴν δὲ ἑτ. corr. e τῇ δὲ ἑτέρᾳ Q **13** νήσῳ addidi cf. ἐπερπάτησεν ἡμέρας ἔξι μὲ τὸ φουσᾶτα του, καὶ ἦλθεν εἰς ἕνα ὑψηλὸν πολλὰ νησὶν καὶ ἀνέβησαν ἀπάνου καὶ ἐποίησεν στῦλον καὶ ἐστόλισεν τὸ πρόσωπόν του καὶ εἰς τὸ δεξιόν του χέριν ἐκράτειεν σπαθὶν καὶ ἔδειχνε τὸ νησὶν τῶν Μακάρων Mgr

31

(1) Ἐκεῖθεν οὖν διελθὼν τὴν τῶν Μακάρων κατέλαβε γῆν· ἡ δὲ γῆ νῆσος ἦν. ὡς οὖν ταύτῃ ἐπέβη Ἀλέξανδρος οὐδένα μεθ' ἑαυτοῦ ἔλαβεν εἰ μὴ Φίλωνα. ἐν δὲ τῇ νήσῳ ἦν δένδρα ποικίλα, καὶ τοῖς μὲν ἄνθη ἐπεφύοντο, τοῖς δὲ καρποὶ ἀνέφυον, ἕτερα δὲ τὸν καρπὸν ὥριμον εἶχον. ὑποκάτωθεν οὖν τῶν δένδρων ὑπὸ τὰ φύλλα οἱ ἄνθρωποι ἀνέκειντο. προσελθὼν δὲ Ἀλέξανδρος ἑνὶ ἐξ αὐτῶν ᾧ κατὰ τύχην προυπηντήθη καὶ χαίροις, εἶπεν, ὁ ἐνταῦθα. – ὁ δὲ ἀποκριθείς φησι· χαιρέτω ὁ βασιλεὺς Ἀλέξανδρος. – ἐπιστῆναι δὲ τὸν λόγον θελήσας Ἀλέξανδρος, τοῦτον ἀπεπέμψατο εἰπών· τοῖς ἡμῶν πρόσω χωρεῖν γηραιοῖς, αὐτοὶ δέ σε τῷ ἡμῶν ἐξάρχῳ τῶν λόγων παραστήσωσιν Εὐάνθει,

---

ε 31 solo in codice Q; narrationem habet etiam Mgr

1 *τὴν* corr.: *τῇ* Q 2 *ταύτῃ* corr.: *ταῦτα* Q | cf. *καὶ ἐσέβην εἰς τὸ νησὶν τῶν μακάρων, ὁποῦ ὀνομάζονται ἑλληνικὰ ραχμανίδες, καὶ ἠπῆρεν καὶ τὸν Ἀντίοχον μὲ τοῦ λόγου του καὶ τὸν Φιλώνην* Mgr 4 *ἄνθη* corr.: *ἄνθεσιν* Q | *καρποὶ* corr.: *καρποῖς* Q 5 *ἐν τῷ αὐτῷ γάρ, φησίν, ὁ μὲν ἀνθεῖ κλάδος, ὁ δὲ τρυγᾶται, ὁ δὲ ὀμφακίζει* Palladius I 6 p. 109 sq. Derrett *καὶ οἱ λογίες ἐκεῖνα τὰ ἤπωρα, ἄλλα ἀνθοῦσαν καὶ ἄλλα ἦσαν ὥρουμα καὶ τὰ τρίτα ἦσαν ἄγουρα* Mgr, qui add. *καὶ ἦσαν ἐπὶ τὰ κλονάρια πουλίτζια ἔμορφα περιποίκιλα* (*περιποίγγιλα* F), *ἐκάθοντα⟨ν⟩ ἐπὶ τὰ ξύλα καὶ οὐκ ἄποια τραγούδια ἐτραγουδοῦσαν ἔμορφα πανθαύμαστα* 6 *ἀνέκειντο* corr. e *ἀνέκειν* Q, deinde add. *καὶ εἰς τὲς ρίζες τους ἐξέβαιναν βρύσες καθαρὲς κρύες καὶ γλυκὲς ὥσπερ ζάχαρι* Mgr 7 *ᾧ κατὰ τύχην* corr.: *ὡς κατατύχῃ* Q 9 *θελήσας* corr.: *θελήσασα* Q 11 *παρεκάλεσε τὸν διδάσκαλον αὐτῶν καὶ πρύτανιν τῶν λόγων τούτων συντυχεῖν* Pall. II 13 p. 118 Derrett *σύρε εἰς τοὺς γεροντότερους τοὺς ἐδικούς μας καὶ εἰς τὸν πρῶτον μας τὸν Εὐαήνθη* Mgr

κἀκεῖνος πάντα σοι τὰ κατὰ ψυχὴν διηγήσηται. — ὡς δὲ Ἀλέξανδρος τοῦ τόπου μετῄει, παριὼν ἕκαστον κατησπάζετο, αὐτοὶ δὲ πρὸς Εὐάνθη τοῦτον ἀπέπεμπον, ἕκαστος δ' ὅμως τὰ ἐσόμενα αὐτῷ δι' αἰνιγμάτων προέλεγεν. πάντα δὲ Ἀλέξανδρος ἠκηκόει.

(2) Καὶ δὴ τὸν Εὐάνθη καταλαβὼν εὑρίσκει τοῦτον ὑποκάτω δένδρου κείμενον, εἰς δὲ τὴν τοῦ δένδρου ῥίζαν τὰ πρὸς κεφαλῆς Εὐάνθου τὸ ὕδωρ κάτωθεν ἦν ἀναβλῦζον, θάλαμος δὲ ἦν αὐτῷ τὰ τοῦ δένδρου φύλλα. ὡς οὖν εἶδεν Ἀλέξανδρον ἐπισείει τὴν κεφαλὴν καί· ὁ κοσμοκράτωρ, εἶπεν, Ἀλέξανδρος ἥκεν. ἐλθὲ τοίνυν, πλησίον καθέσθητί μοι. — ὡς δὲ τοῦτο ἐποίει Ἀλέξανδρος τούτου τὴν κεφαλὴν κατεφίλησεν Εὐάνθος εἰπών· καὶ ὦ μοι φίλη κεφαλή, πᾶσαν γαῖαν περινοστήσας καὶ ὅτε τὴν μοναρχίαν τῆς οἰκουμένης περιγένῃ, σὴν οὐ καταλάβεις πατρίδα ἐν τῷ τέως. ταῦτα εἰπών, Ἀλέξανδρος δὲ βαρέως ἤνεγκε τὸ ῥῆμα καὶ διερωτᾶν αὐτὸν ἄρχεται· πῶς δὲ τὸν λόγον τοῦτον εἴρηκας; ⟨ὁ δὲ ἀποκριθεὶς ἔφη⟩· οὐ χρεία τοιούτῳ ἀνδρὶ †ταῦτα† λέγειν, ἀλλ' ὅ ἤκουσας. — λέγει πρὸς αὐτὸν Ἀλέξανδρος· κέλευσον ἐνεχθῆναί σοι τί τῶν ἡμετέρων. ὁ δὲ ἔφη· ἐνεχθή-

---

1 περὶ τὴν ψυχήν σου καὶ τὸν θάνατόν σου Mgr 3 ὅλοι τὸν ἐφίλησαν καὶ ὅλοι αὐτὸν ἐμυθολογοῦσα⟨ν⟩ τὸ πᾶν πράγμα τὸ πῶς θέλει γενῆ Mgr 6 ἐλθὼν δὲ ἐκεῖ ὁ Ἀλέξανδρος οὐκ εἶδεν αὐτόν, ἐν ὕλαις γὰρ κατέκειτο, ἐπὶ φύλλοις ἀναπαυόμενος ἐαρινοῖς, ἔχων πηγὴν ὡς μασθὸν ἀκέραιον ἀμέλγων μητρὸς γῆς Pall. II 13 Derrett 11 ἀπὸ τὸ χέρι του τὸν ἐπίασεν καὶ εἶπεν του· κάτζε κοντά μου Mgr 17 ὁ δὲ ἀποκριθεὶς ἔφη addidi, conlato Mgr διατί τοῦτον τὸν λόγον μοῦ εἶπες: ὁ Εὐαήνθης τὸν ἀποκρίθη· τοῦ μεγαλωμένου καὶ φρονίμου τοῦ ἀνθρώπου οὐδὲν μέλλει νὰ τοῦ λέγῃ τὴν διήγησιν ἄνθρωπος 17–18 ταῦτα Q, μῦθον vel similia expectes

τω. – ἀποστείλας δὲ Φίλων⟨α⟩ ἤνεγκεν ἄρτους καθαροὺς καὶ οἶνον καὶ ἱμάτια. ὁ δὲ εἶδε μέν, οὐκ ἔλαβε δέ, ἀλλ' εἶπεν· οὐχ ἡμῖν {ἔφη} ταῦτα ἐφικτά. ἔχε δὲ σὺ τὰ σά, ἐμοὶ μὲν τροφὴ τόδε τὸ δένδρον, πῶμα δὲ ὕδωρ τοῦτο. ἀπὸ γὰρ τῆς μητρὸς γῆς ἡ γῆ πάλιν ἀρδεύεται. ἔνδυμα δέ μοι τάδε τὰ φύλλα, καὶ ὅλος ὁ νοῦς πρὸς οὐρανόν, μὴ φροντίζων τι τῶν ἐπιγείων. βίος δὲ ἡμῖν οὐράνιος, ἐν μακροῖς χρόνοις διατηρῶν ἡμᾶς. ὁπόταν δὲ τοῦ βίου ἐπέλθῃ ἐφ' ἡμᾶς τὸ τέλος, εἰς ἑτέραν ἀτελεύτητον ζωὴν μεταβαίνομεν ἔνθεν ἡμῶν ὅλος ὁ νοῦς. – ἐπὶ τούτῳ Ἀλέξανδρος ἀκουτιζόμενος κατενύγετο καὶ ἐπεδάκρυε καί· ἀληθῶς, ⟨ἔφη⟩, τίς ἐν αὐτῷ ἀγαθῇ ὑπῆρχεν τύχῃ;

(3) Εὐάνθης δὲ τὸν λόγον ἐπιτείνει καὶ ἔφη· ὑμεῖς δὲ διὰ τὰς ποικίλας ταύτας τροφὰς καὶ ἐσθῆτας πολεμοῦντες καὶ πολεμούμενοι, σφάζοντες τοὺς ὁμοίους ὑμῖν ἀνθρώπους, καὶ διὰ τὴν ἄγαν ὑμῶν φιλαρχίαν βασιλείας ἑαυτοῖς περιποιεῖτε τοὺς ἀπατῶντας. πολέμων καὶ σφαγῶν φροντίδα ἔχοντες ὁπόταν δὲ ὑμῖν οὐκ ἀπαντήσειε πόλεμος, εἰς τὰ ἄγρια ζῷα ἐπέρχεσθε, ὧν περιγενόμενοι γίνεσθε νεκρῶν θηρίων περιπατοῦντες τάφοι. ὑμεῖς ἅμα τὴν ψυχὴν καὶ τὸ σῶμα πιαίνοντες ἀποθνήσκετε.

---

1 *Φίλωνα* scripsi: *ἀποσταλεὶς* Engelmann 2 *ψωμὶν ἀφράτον καὶ κρασὶ φέρε μᾶς* Mgr 3 *ἔφη* abundat 9 *εἰς ἄλλον τόπον ὑπηγαίνομε κάλλιον, ὁποῦ κόλασιν οὐδὲν ἔχομε εἰς τὸν αἰῶνα τοῦ αἰῶνος* Mgr 11 *ἔφη* supplevi

ε 31,4: cf. Pall. I 13 Derrett, et multo brevius β III 6 12 sq., cf. *ἐσεῖς διατί βαστᾶτε φορεσίαν πλουμιστὴν λογίες-λογίες, καὶ τρώγετε καὶ χαίρεστε καὶ πίνετε καὶ σφάζετε κάλλιους ἀνθρώπους ἀπὸ ἐσᾶς;* Mgr 17 *ὁ λογισμός σας ἔναι τὸ πῶς νὰ κουρσεύετε καὶ πῶς νὰ πολεμᾶτε καὶ νὰ φονεύετε* Mgr 19 *περιπατοῦντες τάφοι* Pall. II 45 Derrett

τοὺς παρ᾽ ὑμῖν δικαίους ἐν Μακάρων αὐλίζεσθαι νήσους ⟨νομίζετε⟩· ἐπὰν δὲ σὺ τὰς τῶν Μακάρων κατέλαβες νήσους ἔτι ζῶν, σκοπεῖς οὖν, ποῦ τινα τῶν γνωρίμων θεάσῃ;

(4) Λέγει δὲ αὐτῷ Ἀλέξανδρος· πάντα δὲ τὰ παρὰ σοὶ λεγόμενα χρηστά. τοῦτο δέ μοι σαφῶς μόνον σαφήνισον· πῶς ὑμεῖς γίνεσθε; ὡς γὰρ βλέπω, ἐν ὑμῖν θηλεία οὐκ ἔστιν. — ὁ δὲ πρὸς αὐτὸν εἶπεν· εἰσὶ καὶ παρ᾽ ἡμῖν θηλεῖαι, ἀλλ᾽ οὐκ ἐνταῦθα, ἀλλ᾽ ἐν τῇ νήσῳ τῇ πέλας. κατ᾽ ἔτος δὲ ἡμεῖς ἐκεῖθεν ἐρχόμεθα ἅπαξ τοῦ ἐνιαυτοῦ, καὶ γενόμενοι μετ᾽ αὐτῶν πάλιν ἀντιπερῶμεν. ὁπόταν δὲ παῖς γενηθῇ οὐκέτι ὁ τούτου ἐκεῖθεν ἔρχεται πατήρ, ἀλλ᾽ εἰ μὲν ἄρρεν ᾖ, ἡνίκα τριετίσει ἐνταῦθα αὐτῷ ἀναλαμβανόμεθα. εἰ δὲ καὶ θῆλύ ἐστιν, ἐκεῖθεν τῷ πατρὶ καὶ μέχρι ἄρρεν τέξειεν κατ᾽ ἔτος μέχρι τριετοῦς χρόνου ἔξεστι περᾶν. τοῦ δὲ εἰ⟨πόντος⟩· βουλόμην ἐπὶ τὴν νῆσον ἐλθεῖν, εἰ οὐκ ἔστιν ὑμῖν βαρύν τι, ὁ δέ· τὴν νῆσον μὲν καταλαβεῖν, εἶπεν, θεωρήσειν δὲ οὐ δυνήσῃ οὐδένα. ἄπελθε τοίνυν καὶ τὸ μὲν τεῖχος ἔξωθεν βλέψεις, ἔνδον δὲ μηδόλως εἰσελθεῖν θελήσῃς. οὐ γὰρ βλέψει ἄνθρωπος ἔνδον τοῦ τείχους καὶ ζήσεται.

---

2 *νομίζετε* addidi **6** *γίνεσθε* Mgr: *γενέσθε* Q **12–13** *τῷ πατρὶ* scripsi: *ὁ πατὴρ* Q cf. *πᾶσα χρόνον ὑπηγαίνομεν ἐκεῖ καὶ κάμνομε τριάντα ἡμέρες μὲ ταύτες καὶ πάλιν γυρίζομεν ὀπίσω εἰς τὸ νησίν μας. καί εἴ τινος παιδὶ γεννηθῇ, ἂν ἔναι ἀρσενικὸν τὸ παιδὶ τρεῖς χρόνους ἔναι ἐκεῖ μὲ τὴν μάννα του καὶ ἀπέκει τὸ ἐπαίρνει ὁ πατέρας τοῦ καὶ ἔναι μὲ ταῦτον. εἰ δὲ ἔναι τὸ παιδὶ θηλυκὸν πάντοτε ἔναι μὲ τὴν μάννα του* Mgr | *εἰπόντος* scripsi: *εἰ* Q **15** *μὲν νῆσον* Q: transposui **16** *θεωρήσεις* Q

(5) Ἀλέξανδρος δὲ ἐπὶ τούτοις πεισθεὶς τὴν νῆσον μὲν κατέλαβεν, εὗρεν δὲ τεῖχος χαλκοῦν πάνυ μετάρσιον, καὶ οὐκ ἠθέλησεν ἔνδον ἐλθεῖν κατὰ τὸν λόγον Εὐάνθου. στήλην δὲ ἐν τῇ νήσῳ ἔστησε, γράψας ταῦτα· Ἐνταῦθα Ἀλέξανδρος κατέλαβε περιϊὼν γαῖαν, ὅς τήνδε ἵδρυσεν ἰδίαις χερσίν, φθάσας νήσους μακάρων, δόξαν ἔχων θεῶν τινας ὄψεσθαι, καθὼς παρὰ τῶν ἐν ἡμῖν σοφῶν ἐνομίσθη. Εὐάνθης δέ μοι περὶ αὐτῶν ἔφη ἐν Ἅδῃ ὑποβρυχίους εἶναι. ὅσον δέ ποτέ τις ὧδε καταλάβῃ, τὸ τεῖχος ἄψαυστον παρελθέτω, ὅ ⟨τῷ⟩ παρ' ἐμοὶ φυλαχθησομένῳ θεῷ μόνῳ ἐφικτόν, ἀνθρώποις δὲ ἀδύνατον.

(6) Πρὸς αὐτὸ δὲ στραφεὶς πάλιν ἐκεῖθεν τὴν τῶν μακάρων καταλαμβάνει νῆσον, καὶ πᾶσαν αὐτὴν περιϊὼν καὶ πάντας ἀσπασάμενος παρ' αὐτῶν εὐλογήθην. μέλλων δὲ ἐξιέναι τόνδε εἶπεν λόγον· ὦ ⟨ὑμεῖς⟩, εἰ μὴ Μακεδόνων ἐφρόντιζον καὶ κατὰ ψυχὴν εἶχον, οὐκ ἂν τῶν ὑμετέρων ὑπεξῄειν νήσων.

---

1 sq. Ἀλέξανδρος ἐπιστεύθη τοὺς λόγους του, καὶ ὑπῆγεν πρὸς τὸ νησὶν καὶ ἤβρεν χαλκοματέϊνον τὸ κτίσμα ἐκεῖνον τοῦ κάστρου, καὶ ἐπερπάτησέν το τριγύρου, καὶ ἀπέσω οὐδὲν ἐτόλμησε νὰ τηρήσῃ Mgr 5 περιὼν Q 7 sq. cf. ἐμένα ὁ Εὐαήνθης ὁ φρόνιμος ὁ βασιλεὺς τῶν μακάρων τὴν ἀλήθειαν ἔδειξεν, τὸ πῶς οἱ θεοὶ τῶν Ἑλλήνων εἶναι εἰς τὰ καταχθόνια τοῦ Ἅδου, εἰς τὸν Τάρταρον πειράζονται μὲ τὸν διάβολον ἀπὸ ὁρισμὸν τοῦ θεοῦ Σαβαώθ Mgr, qui deinde quaedam add. de Oceano flumine et de paradiso 9 τῷ addidi 10 ἐφικτῷ Q 14 ὑμεῖς addidi | ἐὰν οὐδὲν ἤθελα λυπᾶσθαι διὰ τοὺς Μακεδόνας νὰ μηδὲν χαθοῦν εἰς ξένον τόπον καὶ ἐγὼ ἤθελα ἀπομείνει μετὰ σᾶς ἐδῶ Mgr

32

(1) Καὶ ταῖς ναυσὶν ἐπιβὰς κατέλαβε τὸ στρατόπεδον πάνυ περὶ αὐτὸν ἀσχολούμενον καὶ τὴν ἰδίαν ἀπολεγόμενον ζωήν. ὡς οὖν εἶδον τὰ πλοῖα ἐρχόμενα οὐ μετρίας ἐπληρώθησαν χαρᾶς. καταλαβὼν δὲ Ἀλέξανδρος {πάντα ἀσχολούμενον} τὸν ἴδιον αὐτοῦ λαὸν πάντας γνησίως κατησπάζετο καὶ καθεσθεὶς πάντα αὐτοῖς διηγήσατο. ἀπάρας δὲ τῶν ἐκεῖ ᾤχετο τῆς ὁδοῦ.

(2) Δι' ἡμερῶν δὲ διελθὼν ὡσεὶ δέκα τελείως τὸ τῆς ἡμέρας οὐκ ἦν φέγγος, ἀλλ' ἢ ὡς ὥρας μιᾶς μικρὰ ἐφαίνετο αὐγή. καὶ καταλαμβάνει δὲ τόπον τινὰ ἐπίπεδον, μέσον δὲ τῆς πεδιάδος φάραγξ ἦν διαχωρίζουσα. τῆς δὲ φάραγγος τὸ βάθος ἀνείκαστον ἦν. ἐκεῖσε Ἀλέξανδρος ἤγειρεν ἁψῖδα, γεφυρώσας

ε 32,1 = γ II 36 p. 298, 1–6 Engelmann
1 ταῖς ναυσὶν Q: τὴν ναῦν γ | κατέλαβε Q: καταλαμβάνει γ | τὸ Q: τὸ αὐτοῦ γ 2 αὐτὸν Q: αὐτοῦ γ | ἀσχολούμενον Q: -νος R: -νοι C: ἀσχάλλοντας D | τὴν ἰδίαν ἀπολεγόμενον (corr. e ἀπολεγομένων) ζωὴν Q: τῆς ἰδίας ἀπολεγόμενοι σωτηρίας γ τὰ φουσᾶτα του διὰ τὴν ἄργητά του ἦσαν πολλὰ θλιμμένα Mgr 3 τὰ πλοῖα ἐρχόμενα Q: αὐτὸν ἐρχόμενον γ | μετρίας Q: μετρίως γ 5 πάντα ἀσχολούμενον (delevi) τὸν ἴδιον αὐτοῦ λαὸν Q: τὴν ἰδίαν φάλαγγα γ (C, acc. plur. D, gen. sg. R) 6 διηγήσατο γ: διηγεῖται Q | ᾤχετο RC: εἴχετο QD

ε 32,2 = γ II 37, p. 300, 6–8 et γ II 39 p. 304, 1–8 Engelmann 7 δι' γ: om. Q | δὲ διελθὼν ὡσεὶ δέκα Q: δέκα διελθὼν γ 8 ἀλλ' ἢ Q: ἄλλ' γ | post μικρά add. τις γ 9 καὶ καταλαμβάνει δὲ Q: ἐκεῖθεν δὲ ἀναχωρήσαντες ἦλθοσαν fere γ 10 φάραξ Q | τῆς δὲ φάραγγος γ: ἡ δὲ φάραξ Q 11 ἐκεῖσε Q: ἐκεῖσε οὖν γ ὅρισεν καὶ ἐποίησαν κτιστὴν καμάραν Mgr

αὐτῆν. ἐν δὲ τῇ ἀψῖδι ἔγραψε γράμματα Ἑλληνικά, Περσικὰ καὶ Αἰγυπτιακά. ἡ δὲ γραφὴ τάδε διηγόρευεν.

Ἐνθάδ' Ἀλέξανδρος ἤγειρεν ἀψῖδα,
ἐν ᾗ πανστρατὶ διαβὰς ὑπεράνω
τήνδ' ἐκπερᾷ φάραγγα, ἄκρον θέλων γαίας
καταλαβεῖν, ὡς τῇ προνοίᾳ δόξειεν.

(3) Διελθὼν τῶν ἐκεῖσε ὁδὸν ἡμερῶν τριῶν οὐκέτι τοῖς ἐκεῖθεν φῶς ἦν ἡμέρας. κελεύει δὲ Ἀλέξανδρος ἐκεῖσε τὴν ἅπασαν ἀπαρτίαν καταλιπεῖν τοῦ φοσσάτου. τὴν δὲ ἐκλεκτὴν ἀναλαβόμενος στρατιὰν πειρᾶται ἐν τῇ παννυχίῳ διελθεῖν γαίᾳ, λαβὼν μεθ' ἑαυτοῦ ἀρτιτόκους φοράδας ... καὶ διὰ πορείας οὐκ ὀλίγων ἡμερῶν περιπατήσας οὐκ ἦν αὐτῷ βουλὴ ὑποστροφῆς.

(4) Καθυπαντῶσι δὲ αὐτῷ ὄρνεα δύο ἀνθρωπόμορφα καί

---

1 γεφυρώσας ... ἀψῖδι R: γεφ. ἔγραψεν ἐν αὐτῇ C: γεφ. αὐτὴν ἐν ᾗ γράμματα ἐνεκόλαψεν D: om. Q 2 Αἰγυπτικά Q | γράμματα ῥωμαϊκὰ καὶ ἀράπικα Mgr | τάδε διηγ. Q: διηγ. ταῦτα γ 3 post Ἀλέξ. add. εἰσελθὼν ἤγειρεν ἀψ. ἐν ᾗ πανστρατὶ γ: om. Q: εἰσελθὼν delevi 5 ὑπεράνω ... φάραγγα (corr. e φάλαγγα) Q: om. γ cf. Ἀλέξανδρος ὁ βασιλεὺς εἰς τὴν ἄκραν τῆς γῆς ἦλθεν, καὶ ἀπὸ τὴν καμάραν ἐτούτην ἐδιάβηκα μὲ τὰ φουσᾶτα μου ὅλα Mgr
ε 32,3 = γ II 39 p. 304,8–12 (usque ad vocem φοράδας) Engelmann
7 διελθὼν δὲ γ 8 τοῖς ἐκεῖθεν Q: τῶν ἐκεῖσε τελείως γ | καταλιπεῖν post ἐκεῖσε γ 10 τὴν δὲ ἐκλεκτὴν ἀν. στρατιὰν Q: τὸν δὲ ἐκλεκτὸν ἀν. στρατὸν γ | ἐν τῇ παννυχίῳ δ. γαίᾳ (corr. e γαίῃ) Q: τὴν παννύχιον δ. γαῖαν γ 11 λαβὼν δὲ Q | post φοράδας pauca excid. vid., cf. φοράδια, ὁποῦ εἶχαν πουλάρια, καὶ ἄφηκαν τὰ πουλάρια ἔξω δεμένα Mgr **11–p.115,3** καὶ διὰ πορείας – νικήσεις Q: om. γ, qui hic β II 39–40 sequitur

φασιν· ποῦ δή, Ἀλέξανδρε, καταλαβεῖν ἠθέλησας; οὐκ ἔστιν σοι ἡδὺ τὰ ὧδε διελθεῖν, ἄπιε ὑποστρέψας. ἀνακαλεῖταί σοι ἡ ἀνατολὴ καὶ Πώρου τῶν Ἰνδῶν βασιλεία, ἣν νικήσεις.

(5) Ἀκούσας δὲ Ἀλέξανδρος τὸν μὲν λαὸν ἐκέλευσεν ἀντιστρέφεσθαι, αὐτὸς δὲ ἐκεῖσε παραμεῖναι μόνος βουληθεὶς εἶπε τῷ Ἀντιόχῳ, ἐπισημήνας πάντα τὸν στρατόν·

Ἕκαστος ὃ βούλοιτο τῶν ὧδε ἀράτω,
κἄν τε λίθον ἢ καὶ πηλὸν ἢ καὶ ξύλον.

καὶ τοῖς μὲν ἔδοξε τοῦτο ποιεῖν, τοῖς δὲ λῆρος τὸ ῥῆμα ἐδόκει.

(6) Ἀλέξανδρος παραμείνας ἐκεῖσε οὐκέτι ὄρνεα ὁρᾷ, ἀλλ'

---

2 *ἡδὺ* corr. e *ἡδὺς* Q Mgr narrationem de auri massa Philonis (ε 32,5. 7–8) hic finit; de avibus Mgr haec praebet: *καὶ αὐτοῦ ἐσυναπάντησαν τὸν Ἀλέξανδρον πουλία δύο ἀνθρωποπρόσωπα, ἔμορφα πολλά, καὶ εἶπαν του· Ἀλέξανδρε, διατὶ τὸν θεὸν βαραίνες καὶ θέλεις νὰ ἐπάρῃς τὴν ὀργήν του εἰς τὸν τόπον τὸν ἔρημον; ἀμὴ σύρε ἐγλήγορα, ὅτι σε ἀκαρτερεῖ τῆς Ἰνδιας τὸ φουσᾶτο, καὶ τοῦ Πώρου ἡ αὐθεντία, καὶ ὁ μέγας βασιλέας ὁ Πῶρος, καὶ αὐτουνοῦ τὴν δύναμιν θέλεις χαλάσειν, καὶ αὐτὸν θέλεις σκοτώσειν. καὶ σύρε πάντοτε δεξιὰν μερέαν, καὶ πάλι τὰ θαυμάσια τὰ πρῶτα νὰ ἴδῃς*

ε 32,5 et 7 (omisso 6) = γ II 40 p. 310,11–312,7 Engelmann 4 verba *ἀκούσας δὲ ταῦτα* (*ταῦτα* om. Q) habet γ, sed denuo om. sqq. (*τὸν μὲν λαὸν – βουληθεὶς εἶπε*) 5 *παραμεῖναι* corr. e *-νας* Q 6 *ἐπισημήνας πάντα τὸν στρατὸν* Q: *παντὶ τῷ στρατῷ ἐπισημῆναι* γ 7 *βούλοιτο* Q: *-λεται* γ 8 *κἄν τε* Q: *εἴτε* γ | *ἢ καὶ* Q: *εἴτε* γ *ὅρισεν τὸν Ἀντίοχον νὰ διαλαλήσουν εἰς τὸ φουσᾶτον, πᾶσα ἄνθρωπος νὰ πεζεύσῃ καὶ νὰ ἐπάρῃ εἰς τὸ δισάκιν του ἀπὸ τὰ χώματα τῆς γῆς ἐκείνης* Mgr priore loco 9 post *ἐδόκει* add. *Ἀλεξάνδρου* γ ε 32,6 solo in Q

ἄνθρωποι παντελῶς ἐφάνησαν πάντα τὰ συμβησόμενα προμαντευσάμενοι. καὶ ἄπιε, εἶπον, Ἀλέξανδρε, πάντα γάρ σοι ἡ πρόνοια ἐν χερσὶ δέδωκεν.

(7) Ὁ δὲ ἐπὶ τὸ στρατόπεδον ὥρμησε καὶ μετ' αὐτοῦ μόνος Φίλων ὁ φίλος αὐτοῦ. καὶ λέγει αὐτῷ Ἀλέξανδρος· κάτελθε τοῦ ἵππου καὶ ὃ ἐν χερσί σου τύχῃ ἀνάλαβε. – κατελθὼν δὲ ὁ Φίλων λίθον εὗρε τὸ δοκεῖν καὶ ἄρας ᾤχετο μετὰ Ἀλεξάνδρου. καὶ τὸ στρατόπεδον καταλαμβάνουσι μήποτε περιπατεῖν ἐξισχύοντας. καὶ κελεύει τὰς φοράδας πρὸ τοῦ φοσσάτου εἰσβαλεῖν καὶ ἀπολύεσθαι, ἐπιβάντας ἐπ' αὐτῶν παῖδας Μακεδόνας. τούτου δὲ γενομένου, αὗται κατὰ τὴν τῶν ἰδίων τέκνων ᾤχοντο στοργὴν καὶ οὕτως τὴν ὁδὸν τῆς παννυχίου ἐξῄεσαν γῆς.

(8) Ὡς δὲ τὴν φωταυγῆ κατέλαβον γῆν καὶ ἀλλήλους θεασάμενοι, παντελῶς ἦσαν χρύσεοι ἅπαντες. εὐθέως οὖν κατελθόντες τῶν ἵππων καὶ ἄπληκτον ποιήσαντες ἔκ τε τῶν ἵππων

---

4 αὐτοῦ D: αὐτὸν Q: αὐτῷ R: om. C 6 τοῦ ἵππου γ: om. Q | ἐν Q: ἐν ταῖς ut vid. γ | post ἀνάλαβε add. τοῦτο γ 7 τὸ δοκεῖν Q: ὡς ἔοικεν κοινὸν τῶν ἀχρήστων bene γ | καὶ ἄρας Q: ἄρας δὲ τοῦτον γ 8 μήποτε Q: καὶ (add. R) μήπω γ 8–9 ἐξισχύοντας Q: -τες γ 9 καὶ om. γ | τὰς φοράδας Q: ταῖς φορβάσιν γ (R) 10 καὶ ἀπολύεσθαι om. γ | ἐπ' αὐτῶν Q: ἐπὶ τὰς φορβάδας vel ἐπ' αὐτὰς γ | Μακεδόνας Q: -νων γ 10–11 τούτου δὲ Q: καὶ τούτου γ | αὗται om. γ | post κατὰ add. τὴν ἅμαξαν τῶν ἀστέρων δι' ἡμερῶν κβ' αἱ φορβάδες γ e β II 40 p. 134,6 Bergson | ἰδίων τέκνων Q: πώλων D: ὄνων R: alia e β/λ habet C 12 τὴν ὁδὸν om. γ | post παννυχίου add. ἐκείνης γ

ε 32,8–9 = γ II 41 p. 312,8–16 Engelmann 13 τὴν φωταυγῆ γ: τὰς φωταυγῆς Q | γῆν καὶ ἀλλήλους γ: om. Q 14 χρύσεοι Q: χρυσοὶ γ 14–p. 117,1 εὐθέως – ἐπεσώρευσαν om. γ

καὶ ἐξ αὐτῶν τὸν χρυσὸν ἐπεσώρευσαν. καὶ Φίλων τὸν λίθον πρὸς Ἀλέξανδρον ἤγαγεν καὶ ὅλος ἦν χρυσὸς εὔροιζος. τότε καὶ οἱ μὴ ἄραντες μετενόησαν, καθὼς αὐτοῖς προεῖπεν Ἀλέξανδρος.

(9) Ἀπάραντες δὲ τῶν ἐκεῖ τὴν ἀπαρτίαν αὐτῶν κατέλαβον, κἀκεῖ διαναπαυσάμενοι ἀντιστρέφονται καὶ περῶσι τὴν φάραγγα διὰ τῆς ἀψῖδος. ἐπέβησαν Ἀλεξάνδρου τὰ προοφθέντα αὐτῷ ἐκ τῶν ὄπισθεν {κατέλαβον} ἀνθρωποειδῆ ὄρνεα, λέγοντα· ὃς τὴν ἐπὶ δεξιὰν ἀνθυποστρέψειεν ὁδόν, θαυμάσια ὄψεται. — ὃ καὶ ἐποίησεν Ἀλέξανδρος.

33

(1) Καὶ δι' ὅλης τῆς ἡμέρας διοδεύσας ἔν τινι καταλαμβάνει λίμνῃ. τοῦ δὲ ἐπὶ τῶν χρειῶν προδραμόντος ἑτοιμάσαι τὰ πρὸς τροφήν, ἰχθύας ἐκβαλὼν καὶ τῇ λίμνῃ ἀγαγὼν τοῦ ἀποπλῦναι τὸ ἐν αὐτοῖς ἁλμυρὸν θελήσας, εὐθέως οἱ ἰχθύες διανέστησαν καὶ ἔφυγον. τοῦτο δὲ θεασάμενος φυγὰς ὄπισθεν ἔρχεται καὶ ταῦτα τῷ Ἀλεξάνδρῳ ⟨οὐ⟩ καταμηνύει.

---

1 καὶ Q: ὁ δὲ γ **2** χρυσὸς εὔροιζος γ: χρυσόλιθος Q | καὶ οἱ ἄραντες (μετενόησαν add. R) post τότε add. γ: om. Q et Mgr **6** περ(ν)ῶσι γ (R): περοῦσι Q **6–7** τὴν φάραγγα om. γ deinde add. καὶ s.l. Q **7–8** ἐπέβησαν — κατέλαβον Q: om. γ: κατέλαβον delevi **8** λέγοντα γ: om. Q **9** ἐπὶ om. γ | ὄψεται RC: ὄψει D: ὄψεσθαι Q **10** Ἀλέξανδρος om. Q

ε 33 = γ II 42
11 καταλαμβάνει Q: κατέλαβεν DC: κατέλαβον R **12** λίμνῃ γ: λίμνην Q **12–p.118,2** τοῦ δὲ ἐπὶ ..... λίμνην om. γ **12** προδραμόντος corr. e προδραμὼν τέως Q **16** οὐ addidi

(2) Ὁ δὲ τὰ ἐκεῖσε διελθὼν δι' ὅλης τῆς ἡμέρας περιπατήσας ἑτέραν κατέλαβε λίμνην. ἐκεῖσε δὲ τοῦ φοσσάτου ἄπληκτον ποιήσαντες διανεπαύσαντο. τὸ δὲ ὕδωρ μέλιτος ἀνθόμοιον ἦν. ἐν δὲ τῇ λίμνῃ εἰσβὰς Ἀλέξανδρος τοῖς ἄκροις, διὰ τὸ διαυγὲς τοῦ ὕδατος ἰχθὺς δὲ τοῦτον θεασάμενος ὥρμησε κατ' αὐτοῦ. τοῦτον θεασάμενος Ἀλέξανδρος εὐθέως τῆς λίμνης ἀπεπήδησεν. ὁ δὲ ἰχθὺς τῷ τάχει τοῦ κινήματος συνεπαρθεὶς τοῦ ὕδατος ἐξέδυ, αὐτὸν δὲ Ἀλέξανδρος ἀντιστραφεὶς ἔπληξε τῷ δόρατι· ἦν δὲ θέαμα τῷ μεγέθει. κελεύει δὲ τοῦτον ἐπ' ὄψεσιν αὐτοῦ ἀνατεμεῖν ὡς ἂν ἴδῃ τὴν τῶν ἐγκάτων θέσιν. τούτου δὲ γενομένου ἔλαμψε λίθος ἐν τῇ κοιλίᾳ αὐτοῦ, ὡς πάντας δοκεῖν λαμπάδιον εἶναι. λαβὼν δὲ τὸν λίθον Ἀλέξανδρος καὶ χρυσῷ ἐνθεὶς τούτῳ δὴ ταῖς νυξὶν ἀντὶ φανοῦ ἐχρᾶτο.

(3) Ἐν δὲ τῇ νυκτὶ ἐκείνῃ γυναῖκες τῆς λίμνης ἐξῄεσαν καὶ κύκλῳ τοῦ φοσσάτου περιϊοῦσαι μέλος τι τερπνότατον ᾖδον, ὥστε θεαθῆναι πᾶσι καὶ τῶν ᾀσμάτων ἀκοῦσαι.

(4) Τῆς ἑῴας δὲ καταλαβούσης τὴν προκειμένην ὁδὸν ἐποιεῖτο. τὰ ἐκεῖσε οὖν διελθὼν ὁδὸν ἡμέρας μιᾶς κατέλαβέ τινα

---

3 ποιήσαντες διανεπαύσαντο Q: ποιήσας διανεπαύσατο γ | μέλιτος γ: μέλι Q νερὸν γλυκὺν ὥσπερ ζάχαριν Mgr **4** τοῖς ἄκροις ante τῇ λίμνῃ γ **6** τοῦτον Q: τοῦτον δὲ γ | ὁ Ἀλέξ. γ **7** τῷ τάχει γ: τὸ θρασὺ Q | συνεπαρθεὶς γ: συναρθεὶς Q | τοῦ Q: ἐκ τοῦ γ **8** ἐξέδυ Q: ἐξερρίφη γ | αὐτὸν δὲ Q: ἰδὼν δὲ αὐτὸν γ **9** τῷ μεγέθει γ: τὸ μέγεθος Q **10** θέσιν Q: αὐτοῦ διάθεσιν γ **11** ἔλαμψε Q: ἐξέλαμψε γ | λίθος ε: λιθάριν τρανὸν ὡσὰν χηναρίου αὐγόν Mgr **12** ὁ Ἀλέξ. γ **13** τούτῳ QD: τοῦτον RC | δὴ Q: ἐν γ | ταῖς γ: τοῖς Q **15** ᾖδον Q: ἔλεγον γ **17** ἑῴας δὲ Q: inv. in γ **18** τὰ Q: τῶν R: τὴν C: om. D | post ὁδὸν add. πορείαν γ **18–p.119,1** τινα τόπον Q: inv. in γ

τόπον, ὁ δὲ τόπος λεῖος. καὶ δὴ ἀνθρωποειδῆ ζῷα ἐφαίνοντο, ἀπὸ μὲν κεφαλῆς μέχρι ὀμφάλου ἄνθρωποι ἦσαν, κάτωθεν δὲ ἵπποι. καὶ αὐτοὶ εἰς πλῆθος, τόξα ταῖς χερσὶν ἔχοντες, τοῖς βέλεσιν οὐκ ἦν σίδηρος, ἀλλὰ λίθοι ὀξεῖς, καὶ αὐτοὶ πρὸς μάχην ἕτοιμοι. τούτους οὖν ἰδὼν Ἀλέξανδρος κελεύει ἐκεῖσε φοσσᾶτον παγῆναι, κύκλῳ δὲ παμμεγέθη ὀρύγματα γενέσθαι. ταῦτα δὲ στεγάσασθαι καλάμοις καὶ χόρτῳ προσέταξεν, ἔσωθεν πλησίον τῆς διώρυγος ὀλιγοστοὺς διίστησι τοξότας. — ἐν δὲ τοῖς οἰστοῖς, εἶπεν, μὴ ἔχειν σίδηρα ἀλλὰ μόνα τὰ ξύλα· ὁπόταν δὲ τῇ μάχῃ πλησιάσωσι, τοὺς οἰστοὺς ἐπ' αὐτοὺς ἀστόχως τινάξαντες, τὸ βέλος ἐπιτυγχάνον καὶ μηδὲν ἐνεργῆσαν θρασεῖς αὐτοὺς ἀπεργάσεται. καὶ ὡς ἂν ἴδητε τούτους ἐπιχυθέντας πρὸς ὑμᾶς, ὑμεῖς δὲ μηδόλως στῆτε ἀλλ' ἐνδοτέρω προσποι-

---

1 ὁ τόπος αὐτὸς εἶχεν λόγγους πολλούς Mgr | ἐφαίνοντο γ: ἐκφαίνονται Q **2** post ὀμφαλοῦ add. τέλειοι γ | ἦσαν Q: ὑπῆρχον γ | κάτωθεν γ: κατόπισθε Q **3** post πλῆθος add. ἦσαν γ | τοῖς Q: τοῖς δὲ γ **4** ἀλλὰ Q: ἀλλ' ἀντὶ σιδήρου γ | post μάχην add. ἦσαν γ **5** τ. οὖν ἰ. Ἀλ. Q: ὡς δὲ τούτους ἐθεάσατο ὁ Ἀλ. γ **5–6** ἐκεῖσε φοσσ. Q: τὸ φ. ἐκεῖσε γ **6** παγῆναι γ: πηγῆναι Q | κύκλῳ δὲ Q: καὶ κύκλῳ τῆς φάλαγγος γ | παμμέγεθες ὄρυγμα ... τοῦτο γ **7** στεγάσασθαι Q: -σαι γ | χόρτῳ γ: -τον Q: καὶ ὅρισαν καὶ ἔσκαψαν τράφους καὶ ἐσκέπασάν τους μὲ καλάμια καὶ χορτάριν Mgr | ἔσωθεν Q: ἔωθεν γ **8** ὀλιγοστοὺς Q: ὀλίγους γ | διίστησι Q: ἔστησε DC: ἐστήσατο R **10** ἀστόχως Q: εὐ- γ inepte **10–11** τινάξαντες QC: -ξατε γ (RD) **11** τὸ βέλος ἐπιτυγχάνον καὶ μηδὲν ἐνεργῆσαν Q: τὰ γὰρ βέλη ἐπιτυχόντα καὶ μὴ ἐνεργήσαντα γ **12** ἀπεργάσεται Q: -σονται γ **13** δὲ om. γ | μηδόλως στῆτε Q: μὴ δειλιάσητε γ | ἐνδοτέρω Q: ἐνδότερον γ **13–p.120,1** προσποιήσασθαι γ: προ- Q

ἠσασθε φεύγειν, καὶ μήπως τῷδε τῷ τρόπῳ τινὰς ἐξ αὐτῶν θηρεῦσαι δυνηθῶμεν. – τούτου δὲ γενομένου ἡμέρος ἄρτι καταλαβούσης ἰδοὺ παρίστανται οἱ ἄμφιπποι ἄνδρες καὶ τὸ φοσσᾶτον περικυκλώσαντες ἵσταντο μήκοθεν τοξεύοντες. ὡς δὲ καὶ τῶν Μακεδόνων ἀντιτοξευόντων εἶδον μηδεμιᾶς πληγῆς ἐνεργητικὰ εἶναι τὰ Μακεδονικὰ βέλη, πάντες ἐπισυναχθέντες τὴν τούτων ὡς δὴ καταγελῶντες ἀδρανίαν καὶ βουλὴν ὡς δοκοῦντες ἐν ἑαυτοῖς ποιησάμενοι ὁμοθυμαδὸν κύκλῳ ἡμῶν ἐπεκχυθῆναι, τοῦτο ἐποιήσαμεν κατ' αὐτῶν. ὅπου γὰρ μορφὴ ἀνθρωπίνη οὐκ εἰς τέλειον ἐμφαίνεται {ἀνθρώπου}, οὐδὲ τὸ φρονεῖν ἀκεραίως καθάπερ ἀνθρώποισι δίδοται. ταῦτα οὖν ἐν τοῖς ἀμφίππων ἀνιστορήθη ἀνθρώποις. καὶ ὡς ἄνθρωποι μὲν τὸ ἀνενέργητον περιεφρόνησαν τῶν βελῶν, ὡς δὲ κτήνη τὴν ἀνθρωπίνην οὐκ ἐννόησαν πανουργίαν. ἀσκόπως δὲ κατὰ

---

1 καὶ om. γ 3 παρίστανται γ: -το Q | ἄμφιπποι C: ἀφίπποι Q: ἐφίππιοι R: ἔφιπποι D: ἱπποάνθρωποι Mgr | deinde ἐκεῖνοι add. γ 4 περικυκλώσαντες Q: κυκλώσαντες γ 5 τῶν Μακ. ἀντιτοξευόντων Q: παρὰ Μακεδόνων ἀντετοξεύοντο γ | εἶδον Q: ἰδόντες γ 6 ἐνεργητικὰ γ: -κον Q 7 καταγελῶντες Q: κατεγέλων γ | ἀδράνειαν γ: ἀνανδρίαν Q 8 post ποιησάμενοι add. ὥρμησαν γ | ἡμῶν scripsi: αὐτῶν Q: τοῖς Μακεδόσιν γ 9 ἐπεκχυθῆναι Q: ἐπιχυθῆναι γ | ἐποιήσαμεν Q: μὲν ἐποίησαν γ | post αὐτῶν add. δὲ γ 10 μορφὴ ἀν. inv. in γ | τέλειον Q: τέλος γ | ἐμφαίνεται γ: ἐκφαίνονται Q | ἀνθρώπου γ: ἄνθρωποι Q: del. Engelmann et D 11 ἀκεραίως – διδόται (sic) Q: ἀκέραιον πέφυκε γ 11–12 ταῦτα – ἀνθρώποις om. γ 12–13 καὶ ὡς μὲν ἀνθ. γ 13 περιεφρόνησαν Q: κατ- γ 14 ἐννόησαν Q: ἐπεν. γ | δὲ Q: οὖν γ

τοῦ φοσσάτου ὁρμήσαντες καὶ τοὺς δῆθεν ἀντιμάχεσθαι ἱσταμένους ἰδόντες, ὡς ἔδοξαν, φεύγειν, ἀκρατῶς ἐκχυθέντες τῇ διώρυγι πεπτώκασιν. ὡς δὲ τοῦτο ἐγένετο, εὐθέως Ἀλέξανδρος ἅπαν ὑπεξιέναι αὐτοῖς τὸ πλῆθος ἐν ὅπλοις ἐκέλευσεν. τότε δὲ πεῖραν οἱ καταληφθέντες ἔλαβον, οἵοις ἄνθρωποι ξίφεσι κέχρηνται, ἰσχυροτάτοις καὶ λίαν θανατηφόροις. ἐξ αὐτῶν δὲ βουληθεὶς Ἀλέξανδρος περισώσασθαι καὶ εἰς τὴν καθ' ἡμᾶς οἰκουμένην ἀγαγεῖν, ἄχρι πεντήκοντα τῆς διώρυγος ἐξήγαγεν, οὕσπερ καὶ διέσωσεν ἄχρι ἡμερῶν εἴκοσι. καὶ τὴν αὐτῶν μὴ γινώσκων δίαιταν, πάντες ἀπέθανον.

(5) Τὰ ἐκεῖσε οὖν διελθόντες δι' ἡμερῶν ἑξήκοντα τὴν οἰκουμην κατέλαβον καὶ διανεπαύσαντο μικρὸν ἐκ τοῦ κόπου.

1–2 τοὺς δῆθεν μάχεσθαι ἱσταμένους ἰδόντες ὡς δόξαν τὰς φεύγειν ἀκρατῶς Q: οἱ ἀντιμαχόμενοι τούτους ὡς δῆθεν ἔδοξαν φεύγειν καὶ εἰς ἄκραν γ: correxi **3** ὁ Ἀλ. γ **4** ἐν ὅπλοις Q: ἐνόπλους γ **5** τότε δὲ Q: καὶ τότε γ | οἱ καταληφθέντες om. γ **5–6** ἄνθρωποι ξίφεσι Q: ξίφεσιν οἱ Μακεδόνες γ **6** καὶ λίαν Q: inv. in γ **7** περισώσασθαι Q: περιποιήσασθαι γ **9** καὶ διέσωσεν Q: διασώσας γ | ἄχρι Q: μέχρι γ | εἴκοσι Q: κβ' γ **10** πάντες Q: ἅπαντες γ | ἀπέθανον Q: (δι-D) ἐφθάρησαν RD: ἐτελεύτησαν C cf. καὶ ἐπίασαν ζωντανοὺς ἕξι χιλιάδες καὶ ὅλους αὐτουνοὺς ἡμέρωσεν, καὶ ἤθελεν νὰ τοὺς ἐξεβάλῃ ἔξω εἰς τὸν κόσμον καὶ τόσον ἦσαν ἐγλήγοροι ὅτι τίποτες οὐδὲν τοὺς ἐγλύτωνεν, καὶ τόσον ἦσαν δοξιότες ὁποῦ ἔρριχναν οὐδὲν ἀστοχοῦσαν. καὶ ὁλονῶν ἐποίησεν ἅρματα ὁ Ἀλέξανδρος, καὶ πολλὰ εἰς τὸν πόλεμον ἐδούλευσαν τὸν Ἀλέξανδρον. καὶ ὅταν εἰς τὸν κόσμον τὸν οἰκιωμένον ἐξέβην ἔσυρεν ἄνεμος κρύος καὶ ἐπέθαναν ὅλοι Mgr **11** τὰ Q: τῶν γ (RD) **12** διανεπαύσαντο Q: -σατο R

34

(1) Ἔδοξε δὲ αὐτῷ ἐπιστολὴν γράψαι ἐν Μακεδονίᾳ Ὀλυμπιάδι τῇ μητρὶ αὐτοῦ καὶ Ἀριστοτέλει τῷ καθηγητῇ. τὰ δὲ ἐν τῇ ἐπιστολῇ αὐτοῦ γεγραμμένα τάδε εἰσίν·

Ἀλέξανδρος ὁ βασιλεὺς Ὀλυμπιάδι τῇ μητρὶ καὶ Ἀριστοτέλει τῷ καθηγητῇ χαίρειν. χρόνος ἤδη παρῴχηκεν, ὦ μῆτερ ἐμή, τὰ περὶ ἡμῶν τῇ σῇ μὴ †ἀναδιδαχθήσει† στοργῇ. ἐπὶ τούτῳ γινώσκω ἀδημονεῖν σε καὶ φροντίζειν ἡμῶν, στένειν τέ σε τὴν ψυχὴν πλείστοις λογισμοῖς, ὥσπερ χειμαζομένη δοκεῖς μοι ναῦς, καὶ ταῖς νυξὶ συνεῖναι καὶ τὰ περὶ ἐμοῦ διερωτᾶν. πολλάκις με καὶ δυστυχοῦντα καὶ εὐτυχοῦντα ὁ ὄνειρος παραδεικνύων οἶδά σέ ποτε μὲν τῇ δυστυχίᾳ θλιβομένην, τῷ ὀνείρῳ διεγερθεῖσαν χαρῆναί τε τῷ τοῦ ψεύδους φαντάσματι, λυπηθῆναί τε τῷ τῆς ἀποδημίας στερήματι. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοὐναντίον· ἐν τῷ ὀνείρῳ συνοῦσα χαίρεσθαι ὡς τῆς εὐτυχίας καὶ θεωρίας

ε 34 = γ II 43, cf. etiam epistolam in Mgr, Byz. Zeitschr. 60, 1967, 18–21

1 δὲ αὐτῷ Q: οὖν τῷ Ἀλεξάνδρῳ γ | ἐν Μακεδονίᾳ γ Mgr: om. Q 2 καθηγητῇ αὐτοῦ γ | ἐν om. Q 3 αὐτοῦ Q: om. γ | εἰσίν Q: ἦν vel ἦσαν γ 4 ὁ om. γ | μητρί μου γ 6 ἀναδιδαχθήσει Q: -σεται R: -σεσθαι C: -θησαν D: ἐξ οὗ τὰ περὶ ἡμῶν ... ἀνεδιδάχθη temptavit Engelmann 7 ἡμῶν Q: ἡμᾶς γ: περὶ ἐμοῦ καὶ C | στένειν Q: ἀσθενεῖν γ | τέ σε Q: om. γ, sed post πλείστοις add. δὲ δὲ (= δὲ σε) R 8 τὴν ψυχὴν Q: τῇ ψυχῇ γ | δοκεῖς μοι om. γ 9 διερωτᾶν Q: ἐρωτᾶν γ 10 με Q: δὲ γ, qui add. με post δυστυχοῦντα | καὶ εὐτυχοῦντα om. γ | παραδεικνύων Q: -νυσι γ 11 σε τοιγαροῦν γ 11–12 διεγερθεῖσαν γ: – θῆναι Q 12 τε ... τε Q: μὲν ... δὲ γ 13 στερήματι γ: προσρήματι Q | τοὐναντίον Q: τοῦ ἐναντίου γ 14 ἐν τῷ ὀνείρῳ om. Q | ὡς τῆς Q: ὅσης ut vid. γ | εὐτυχίας γ: ἀ- Q

τοῦ υἱοῦ ἐμπιπλαμένη, τοῦ δὲ ὀνείρου διαναστᾶσα οὐ μετρίως λελύπησαι ἐν τῇ τοιαύτῃ οὖσα χαρᾷ τοῦ ὀνείρου. ἐπίσταμαι στοργὴν μητρὸς εἰς ἀποδημοῦντα υἱόν. ταῦτα δὲ καὶ ἐμοὶ πολλάκις ἐμφαίνεται, ἐξ ἐμαυτοῦ γὰρ τὰ σὰ ἐπίσταμαι, μῆτερ ἐμή. ἐν τούτοις δὲ πᾶσιν ἵλεως ἔσο μοι τοῖς ἀγνοήμασι καὶ τὰ ἐμοὶ συμβεβηκότα διὰ τῆσδε μου ἀνάγνωθι τῆς ἐπιστολῆς.

(2) Καθὼς γὰρ πρώην σοι ἀνεδίδαξα τὰ περὶ Δαρείου, ὡς αὐτὸν τρισὶ συμβολαῖς ἡττήσαμεν, μετὰ δὲ τὸ ἡττηθῆναι αὐτὸν ἐγκρατὴς γενόμενος πάσης Περσίδος τὴν ἑαυτοῦ θυγατέραν, ὡς προέφην, γυναῖκα εἱλόμην καὶ ὁμόνοιαν Πέρσαις καὶ Μακεδόσιν ἐκ τούτου πεποίηκα τοῦ πράγματος.

(3) Τοὺς δὲ πάντας ἀναλαβόμενος τὴν κατ' Αἴγυπτον ἐποιησάμην ὁδόν. καὶ δὴ χώρας πλείστας καὶ πόλεις ὑποτάξας τῇ Ἰουδαίᾳ πάρειμι γῇ. αὐτοὶ δὲ ζῶντα θεὸν ἔδοξαν λατρεύειν, ὃς ἐμὴν ἀγαθὴν ἐποίησε πρὸς αὐτὸν εἶναι γνώμην, καὶ ὅλη μου ἡ ψυχὴ πρὸς αὐτόν. τοῦτον δὲ ἐχαρισάμην τά τε δῶρα καὶ τοὺς ἐτησίους φόρους, οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν Περσικῶν λαφύρων τοῦτον διήνεγκα. παρ' αὐτῶν βασιλεὺς κοσμοκράτωρ ἀναγορευθεὶς διῆλθον τὴν χώραν.

---

1 ἐμπίπ. Q: ἐμπίμπ. γ | διαναστᾶσα γ: -στάντος Q 2 ἐπίσταμαι γὰρ γ 4 ἐμαυτοῦ γ: -τὸν Q 7 ἀνεδίδαξα γ: ἐδίδαξα Q | ὡς γ: καὶ ὡς Q 9 ἑαυτοῦ γ: αὐτοῦ Q | θυγατέραν Q: -ρα γ **10–11** καὶ Μακεδόσιν om. Q **11** πράγματος Q: δράματος γ **13** πλείστας γ: -στους Q **14** τῇ Ἰουδαίᾳ ... γῇ Q: τὴν Ἰουδαίαν ... γῆν γ | αὐτοὶ δὲ Q: οἵτινες οἱ ἐκεῖσε γ | ζῶντα θεὸν Q: ζῶντι θεῷ γ 15 ἐμὴν Q: ἐμοὶ γ | ἐποίησε γ: -σαν Q | πρὸς αὐτὸν εἶναι Q: ἔχειν γ **16** αὐτὸν ἦν γ (R) | τοῦτον Q: τούτους γ 18 τοῦτον διήνεγκα Q: πλεῖστα τούτοις ἐδωρησάμην γ | αὐτῶν δὲ γ **18–19** ἀναγορευθεὶς διῆλθον Q: ἀνηγορεύθην καὶ διελθὼν γ **19** τὴν αὐτῶν γ

(4) Καὶ δι' ἱκανῶν ἡμερῶν τὴν Αἰγυπτίαν κατέλαβον γῆν, ἐν ᾗ διατρίψας καιρὸν ὀλίγον πᾶσά μοι ἡ χώρα ὑπετάγη. εἰσελθὼν δὲ τὴν αὐτῶν πόλιν βασιλέα με ἀνηγόρευσαν καὶ αὐτοὶ κοσμοκράτορα, καὶ νέον ἄλλον ὁδεῖνα, ὁ νοῶν νοείτω. διὰ δὲ τὸν χρησμὸν αὐτῶν πόλιν ἐμαυτοῦ τὴν Αἴγυπτον ὠνόμασα. ταύτην ἐκ βάθρων οἰκοδομήσας, παμποικίλοις κίοσι καὶ ἀνδριᾶσι κατακοσμήσας, ἐκεῖσε πάντας ἐξουθένωσα θεοὺς οὐκ ὄντας θεούς. τὸν δὲ ἐπὶ τῶν Σεραφὶμ θεὸν ἀνεκήρυξα. στήλην δὲ ἐμὴν καὶ φίλων ἐμῶν ἐν αὐτῇ ἵδρυσα τῇ πόλει, Σελεύκου, Φιλίππου καὶ Ἀντιόχου.

(5) Ταῦτα οὖν τελέσας ἔδοξέ μοι ἄκραν γῆς καταλαβεῖν, καὶ τὸ ἐννόημα ἔργον ἦν. ἐπὰν δὲ τὴν ὑφήλιον οἰκουμένην διῆλθον, τόποι δέ μοι δύσβατοι καὶ ἄγριοι καθυπαντῶσιν, ὅμως τούτους μόλις διῆλθον δι' ἡμερῶν τεσσαράκοντα. ὡς οὖν τοὺς δυσβάτους διήλθομεν τόπους εἰς πεδίον καὶ λίαν κατηντήσαμεν λεῖον. ἐν αὐτῷ δὲ ἀγρίους ἀνθρώπους εὕρομεν, τούτους δὲ τροπωσάμενοι καὶ μόλις ἐνδότερον εἰσέδυμεν. ἐκεῖσε δέ τινος Σεσόγχου κοσμοκράτορος εὕρομεν στήλην, ἀπόρρητα δὲ ἡμῖν ἐμαντεύσατο. ἐκεῖ οὖν διελθόντες τὰς Ἡρακλέους εὕρομεν στήλας καὶ

---

1 καὶ δι' ἱκ. ἡμ. Q: δι' ἡμ. ἱκ. γ **3** με γ: μοι Q | καὶ αὐτοὶ ἀνηγόρ. γ **4** ὁδεῖνα γ: ὁ δὴ Q: „deb. Νεκτεναβῶ" Engelmann **6** ἀνδριᾶσι γ: ἀνδρίαντοῖς Q **7** ἐξουθένωσα θεοὺς Q: τοὺς θ. ἐξουθένησα ὡς γ **9** post πόλει add. ἤγουν γ **11** τελέσας Q: ποιήσας γ **13** τόποι ... καθυπαντῶσιν Q: εἰς τόπους δυσβάτους καὶ ἀγρίους κατηντήσαμεν γ **14** μόλις διῆλθον Q: διήλθομεν γ **15** τοὺς ... τόπους Q: διήλθομεν τοὺς δυσβάτους ἐκείνους τόπους γ | εἰς om. Q. | καὶ λίαν om. γ | λεῖον Q: πάνυ λεῖον γ **17** μόλις om. γ | εἰσέδυμεν Q: εἰσελθόντες γ **17–19** ἐκεῖσε δέ – οὖν διελθόντες om. γ **18** ἀπόρρητα scripsi: ἄπορα Q **19** Ἡρακλίους Q: -έους D: -έου R; -έως C

τὰ μέλαθρα Σεμιράμεως. ἐκεῖσε δὲ ἀναπαυσάμενοι ἡμέρας τινὰς διελθόντες εὕρομεν ἀνθρώπους ἑξάχειρας καὶ ἑπτάποδας οὓς τροπωσάμενοι τῶν ἐκεῖθεν διήλθομεν. καὶ κατέλαβομεν τόπον παράλιον, ἐκεῖ δὲ ἀναπαύσασθαι βουληθέντες καρκίνος ἐκ τῆς θαλάσσης ἐκδὺς ἵππον νεκρὸν ἀναλαβόμενος τῇ θαλάσσῃ ἔδυ. ἐπέστησαν δὲ ἡμᾶς πλήθη ἐναλίων θηρίων, ὡς μὴ ἐξικανοῦν ἡμᾶς ἑνὸς καρκίνου περιγενέσθαι. πυρὸς δὲ φλόγα ἀνάψαντες ἐκεῖθεν διασῳζόμεθα, ἐρχόμενα δὲ μέχρι τοῦ πυρὸς εὐθέως ἀντεστρέφοντο.

(6) Ἐκεῖθεν οὖν διελθόντες ἕτερον κατελάβομεν τόπον δι' ἡμερῶν οὐκ ὀλίγων, καὶ αὐτὸς παράλιος ἦν. νῆσος δέ μοι ἐφαίνετο κατὰ τὴν θάλασσαν. ναῦ δὲ κατασκευάσας τὴν νῆσον εἰσῆλθον καὶ γυμνοσοφιστὴν εὑρὼν καὶ ἀνθρώπους οἵτινες ἡμετέραν φωνὴν εἶχον. καὶ πλείστους χρησμοὺς προηγόρευσαν ὡς καὶ τοὔνομά ⟨μου⟩ πρὸ τοῦ μαθεῖν εἶπον. τὴν οὖν Μακάρων, ὦ καθηγητᾶ, ἐκεῖθεν νῆσον καταλαβών, μὰ τὴν πρόνοιαν, οὐδένα θεὸν ἑώρακα ὡς ὑμεῖς φατε. παρὰ δὲ τῶν ἐκεῖθεν ἀνδρῶν πυθόμενος ἔμαθον ἐν τῷ Ἅδῃ ὑποβρυχίους τούτους εἶναι.

(7) Ἕτερα δὲ πλεῖστα εὗρον θαύματα, ἅπερ ἐν τῇ συγγρα-

---

3 ἐκεῖθεν Q: ἐνδοτέρων γ 4 παράλιον γ: ἐκ ξύλων Q | ἐκεῖ δὲ ἀναπαύσασθαι Q: ἐκεῖσε οὖν ἀναπαυσάμενοι γ 5 ἐκ τῆς θαλάσσης Q: θαλάσσιος γ 6 ἔδυ Q: εἰσέδυ γ | ἡμᾶς πλήθη Q: ἡμῖν πλῆθος γ | θηρίων γ: θηρῶν Q 8–9 ἐρχόμενα .... ἀντεστρέφοντο om. γ | τοῦ πυρὸς scripsi: τῆς π. Q 10–11 δι' ἡμερῶν οὐκ ὀλ. om. γ 13–p.126,1 καὶ γυμνοσοφιστὴν .... μετὰ δὲ ταῦτα ἐκεῖσε Q: om. γ, qui praebet κἀκεῖσε εὗρον ἀνθρώπους ὁμοίους τῇ ἡμῶν διαλέκτῳ σοφοὺς μὲν γυμνοὺς δὲ πάντας ὡς ἐκ κοιλίας μητρός, τούτους δὲ (cf. II 35 A p. 248, 13 Engelmann) 15 μου addidi 20 θαύματα corr. e θεάματα Q

φῇ καθ' ἓν διάκειται. μετὰ δὲ ταῦτα ἐκεῖσε διελθόντες εὕρομεν ἀνθρώπους κυνοκεφάλους. μόλις δὲ καὶ τούτους τροπωσάμενοι κατελάβομεν δι' ἡμερῶν ἱκανῶν ἐν πεδίῳ παμμεγέθει. κατὰ μέσον δὲ αὐτοῦ φάραγξ ἐστήρικτο τῷ βάθει ἀνείκαστος. αὐτὴν δὲ γεφυρώσας ἀψῖδα ἤγειρα καὶ διελθὼν ἐκεῖθεν οὐκέτι αὐγὰς ἡμέρας ἐθεασάμεθα. καὶ διὰ πορείας ἡμερῶν πολλῶν ἐν τῇ παννυχίῳ γαίᾳ περιπατήσαντες, ἐκεῖσε κατέλαβον ἡμᾶς ὄρνεα ἀνθρωποειδῆ, τὴν ἀντιστροφὴν ἡμᾶς βουλευσάμενοι, καὶ Οὐκ ἔξεστίν σοι, Ἀλέξανδρε, τῶν ὧδε διελθεῖν εἶπον.

(8) Ἐκεῖθεν οὖν ὑποστρέψαντες πᾶσι παρακελεύω μετὰ χεῖρας λαβεῖν τί τῶν ἐκεῖ. ὀλίγοι δὲ τὸ προσταχθὲν ἐξετέλεσαν. ὁπηνίκα οὖν τῷ φωτὶ κατελάβομεν, ἅπαντες μετενόησαν, οἵ τε ἄραντες καὶ οἱ μὴ ἄραντες. καὶ δὴ τῶν ἐκεῖ ἐξήλθομεν καὶ δεξιοῖς μέρεσι τὴν ἐπιστροφὴν ποιούμενοι τὴν ἀθάνατον πηγὴν κατελάβομεν. ἐκεῖθεν δὲ ἐξελθόντες ὁδὸν ἡμερῶν πολλῶν τοὺς Ἱπποκενταύρους ἐπολεμήσαμεν. καὶ τούτους τροπωσάμε-

---

4 αὐτοῦ Q: τῆς πεδιάδος γ 5 ἀψῖδα Q: -δι DC: -δων R | ἤγειρα Q: καὶ περάσαντες πανστρατὶ γ | διελθὼν Q: διῆλθον γ 5–6 οὐκέτι Q: ἔκτοτε δὲ οὐκέτι εἴχομεν γ 6–7 αὐγὰς ..... πολλῶν Q: τὸ τῆς ἡμέρας φῶς, καὶ ὡς ἔθος ἦν ἐμπεριπατήσαντες (ἐκπεράσαντες δὲ R) ἡμέρας τινὰς κατελάβομεν γ 7 παννυχίῳ γ: -αίῳ Q | γαίᾳ Q: γῇ γ 7–8 περιπατήσαντες ...... βουλευσάμενοι Q: ἔνθα ἐστὶν ἡ τῶν μακάρων χώρα, καταλαβόντα δὲ πρὸς μὲ δύο ὄρνεα ἀνθρωπόμορφα ἱπτάμενα συνεβούλευσάν μοι γ 9 ἔξεστιν γ: ἔστιν Q | διελθεῖν Q: διέρχεσθαι γ 10 εἶπον om. γ 11 τοῖς πᾶσιν γ | παρακελεύω Q: παρεκελευσάμην γ 14 οἱ μὴ γ: μὴ Q | ἐκεῖθεν γ | καὶ om. γ 15 ἐπιστροφὴν Q: ὑποστροφὴν γ 15–16 τὴν ἀθάνατον .... πολλῶν Q: διελθόντες δὲ ἡμέρας τινὰς γ 17 τοὺς ἱππ. γ: τοῖς ἱπποκενταύροις Q

νοι τὴν οἰκουμένην κατελάβομεν γῆν πολλοὺς κινδύνους διελθόντες.

(9) Τανῦν δὲ πρὸς Πῶρον τὸν τῶν Ἰνδῶν βασιλέα εὐτρεπιζόμεθα πολεμῆσαι, καὶ ὅσα περὶ ἡμῶν ἡ θεία εὐοδώσειε πρόνοια. τὴν δὲ ἀπογραφὴν τῶν παρ᾽ ἡμῶν θεαθέντων πραγμάτων ἔνδον εὑρήσετε τῆς ἐπιστολῆς, ᾗπερ ἐντυχόντες τὰ ἡμῶν κατ᾽ ἔτος ἀναδειχθήσεσθε. – ἔρρωσο μῆτερ σὺν καθηγητῇ τὸ θεῖον ἐξιλεούμενοι.

35

(1) Ἐκεῖσε οὖν διατρίψας ὡσεὶ μῆνας πέντε ἀνεζωπυρήθη ἅπαν τὸ στράτευμα. ἀπάρας τῶν ἐκεῖ ὥρμησε κατὰ Ἰνδῶν, καὶ δὴ τὴν Ἡλίου καταλαβόμενος χώραν εἰσελθὼν ἐν τῇ πόλει, ἱερὸν ἐλέγετο ἐκεῖσε τοῦ ἡλίου εἶναι καὶ ἱερά τινα δένδρα. ἐκεῖσε δὲ Ἀπόλλων χρησμοὺς ἀποστέλλει. ἐλθὼν δὲ Ἀλέξαν-

---

1 γῆν om. γ 4 ὅσα γ: ὡς Q 5 παρ᾽ ἡμῶν om. γ 5–6 πραγμάτων γ: θεαμάτων Q 7 κατ᾽ ἔτος Q: καθὸν πως R: καθ᾽ ὅπως C: alia per se D | ἀναδειχθήσεσθε QR: ἀναδιδαχθήσεσθε | σὺν καθηγητῇ Q: σὺν τῷ καθηγητῇ μοὺ ὑπὲρ ἡμῶν γ

ε 35 = γ II 44

9 ὡσεὶ μῆνας Q: ἡμέρας γ 10 ἀπάρας Q: καὶ ἀπάρας CD: ἀπάρας οὖν R 13 τὸν (om. R) Ἀπόλλωνα χρησμοὺς ἀποτελεῖν γ ε 35,1 cf. καὶ ἦλθεν ὁ Ἀλέξανδρος εἰς τὴν Ἡ⟨λι⟩ούπολιν τὸ κάστρον εἰς τὴν ἐκκλησίαν, καὶ ἐπροσκύνησεν καὶ ηὗρεν αὐτοῦ γραμμένα γράμματα, καὶ αὐτὰ (corr. e αὐτοῦ) ἔδειξαν διὰ τὸν θάνατόν του Mgr

δρος ἐν αὐτῇ ἐκαθέσθη καὶ δὴ φωνῆς μὲν ἤκουεν, ἑώρα δὲ οὐδένα. ἡ δὲ φωνὴ χρησμὸς ἦν, ὁ δὲ χρησμὸς τὸν Ἀλεξάνδρου ὑπέφαινε θάνατον.

(2) Περίλυπος οὖν γενόμενος Ἀλέξανδρος καὶ ἐξελθὼν δὲ τῶν ἐκεῖσε ἔρημόν τινα κατέλαβεν τόπον. καὶ τῆς φάλαγγος παρεκταθείσης ἐκ τῶν παραφυομένων θάμνων ἀνθρωπίδια ἀνίσταντο. καὶ αὐτοῖς ἀνὰ εἷς ποὺς ὑπῆρχεν, οὐρὰ δὲ αὐτοῖς δίκην προβάτου παρεφύετο, τὰς δὲ χεῖρας καὶ τὴν κεφαλὴν καὶ τὸν ἕνα ποῦν ὁμοίους εἶχον ἀνθρώπων. ὡς δὲ ἐξανίσταντο, κοῦφοι λίαν ὑπῆρχον τοῖς πηδήμασιν. καταδραμόντες δὲ ἐπ' αὐτοὺς περιεγένοντο καὶ μόλις ὀλίγους πιάσαντες οἱ δὲ σὺν ἡμῖν ἐκ τῶν πλησίων ὄντες τούτους ἤσθιον. κελεύει οὖν Ἀλέξανδρος ζῶντας αὐτῷ ἐνεχθῆναι. ἐπεὶ δὲ πλησίον αὐτοῦ ἔστησαν, λόγοις ἐλεεινοῖς παρεκάλουν καί· ἐλέησον δέσποτα, ἔφησαν, τοὺς

---

1 αὐτῇ Q: αὐτοῖς γ: fort. αὐτῷ fuit 4 περίλυπος — Ἀλ. καὶ γ: om. Q | δὲ om. γ 5 κατέλαβεν γ: -βον Q 7 ἀνὰ del. Müller | οὐρὰ γ: -αν Q | post αὐτοῖς add. ὑπῆρχεν γ (R) 8 παρεφύετο om. γ ηὗρεν ἀνθρώπους μονοπόδαρους καὶ εἶχαν οὐρὲς ὡσὰν πρόβατα Mgr | χεῖρας αὐτῶν γ | τὴν κεφαλὴν γ: κεφαλὰς Q 9 post ἕνα add. ἐκεῖνον γ: om. Q | ὁμοίους Q: ὁμοίως γ | ἀνθρώπων Q: -οις γ 10 πηδήμασιν γ: ποδήμασι Q | καταδραμόντες γ: -μὼν Q 11 post αὐτοὺς fort. excidit αὐτῶν vel τούτων | ἐλίγους Q 11–12 οἱ δὲ — ἤσθιον Q: πρὸς Ἀλέξανδρον ἤγαγον γ 13 ζῶντας αὐτῷ Q: πλησιεστέρους αὐτοὺς γ 14 καὶ om. γ | ἔφησαν Q: ἔλεγον C: om. R

ὁμοίους σου ἀνθρώπους, καὶ γὰρ διὰ τὴν ἀδρανίαν ἡμῶν τὴν ἔρημον τήνδε κατῳκήσαμεν. — ἐπὶ τούτοις Ἀλέξανδρος ἐπικάμπτεται καὶ κελεύει αὐτοὺς ἀπολυθῆναι. τῶν δὲ ἀπολυθέντων εἰς ἀκρωρείας ἀνελθόντες πετρῶν μήκοθεν ἤρξαντο καταγελᾶν Ἀλεξάνδρου λέγοντες· καὶ ὢ τῆς ἀνοίας σου καὶ τῆς ἀπειρίας σου {καὶ} δι' ὧν ἐξελύσαμεν. γλυκεῖα τροφὴ ἡμεῖς, ἀλλ' οὐκ εἶ σὺ ἄξιος ἡμῶν γεύσασθαι κρέη· οἱ γὰρ φρενῶν καθὼς καὶ ὑμεῖς λειπόμενοι ἡμῶν περιγενέσθαι οὐ δύνανται. — ταῦτα λέγοντες ὀρχούμενοι καὶ πηδῶντες Ἀλεξάνδρου κατέπαιζον. αὐτὸς δὲ θεωρῶν αὐτοὺς καὶ ἀκούων τὸ σκυθρωπὸν ἐνηλλάττετο καὶ γελᾶν ἐγκεχείριστο. ἀφ' οὗ γὰρ τὸν χρησμὸν ἦν λαβὼν οὐδέπω αὐτὸν γελάσαντα μέχρι τῆς ἡμέρας ἐκείνης εἴδομεν.

---

1 ἀδρανίαν Q γ: ἀρρωστίαν Mgr 2 τὴν ἔρημον τήνδε Q: τῇ ἐρήμῳ ταύτῃ γ 3 αὐτοὺς Q: αὐτοῖς γ 5 λέγοντες γ: om. Q 6 ἀπειρίας γ: ἀπορίας Q | καὶ del.: καὶ δι' ὧν Q: καὶ οἷον R: om. C 7 γλυκεῖα τροφὴ ἡμεῖς ἀλλ' om. γ | κρέη Q: κρίσει R: κρίσεως C καὶ ἐπηδοῦσαν ἀπὸ λιθάριν εἰς λιθάριν καὶ ἀνέβησαν εἰς ἕνα ὑψηλὸν βουνὶν καὶ ἀρχίρισαν νὰ γελοῦν τὸν Ἀλέξανδρον καὶ εἶπαν του· τὸ πῶς ἐσὺ τὸν κόσμον ὅλον ἐγέλασες μὲ τὴν φρόνεσίν σου καὶ ἐμεῖς ἐσένα ἐγελάσαμεν καὶ μᾶς ἀπόλυσες. τὸ κρέας τὸ ἐδικό μας ἔναι ὀνόστιμο ἀπὸ τὰ κρέη ὅλα καὶ ἀπέσω εἰς τὴν κοιλιά μας ἔχομεν πλοῦτον μέγα Mgr 10 θεωρῶν αὐτοὺς καὶ ἀκούων Q: inv. in γ 11 γελᾶν Q: γελοιᾶν γ 12 καὶ post γελάσαντα add. Q: om. γ | ἡμέρας ἐκείνης Q: αὐτῆς ὥρας γ 13 εἴδομεν post γελάσαντα transp. γ in fine cap. add. καὶ γὰρ γέλωτος ἄξια ἦν τὰ λεγόμενα γ

36

(1) Τῶν ἐκεῖσε οὖν διελθόντες, ἄγγελοι ἦλθοσαν Πώρου τοῦ βασιλέως πρὸς Ἀλέξανδρον τὸν κοσμοκράτορα ἐπιστολὴν κομισάμενοι τάδε περιέχουσαν·

Ἐπειδήπερ, Ἀλέξανδρε, ἡ κατὰ Δαρείου νίκη ὑπεροψίᾳ σε μείζονι ἐθρασύνετο, καὶ κατὰ θεοῦ ἦρας τὸ δόρυ σου ἀπείρως ἔχων ὅση παρ' ἐμοὶ δύναμις· καὶ μὴ κινηθεῖσα οὐ χωρήσειεν ἡ σύμπασα γῆ. τῷ δὲ θυμῷ τῷ ἐμῷ οὐχ ὑποστήσεται ἡ ὑπ' οὐρανόν. ὅθεν ἀρκέσθητι τοῖς κατὰ τὴν μωρίαν τὴν σὴν καὶ συγχώρησιν ἐμὴν πραχθεῖσι καὶ τὸν ὑπὲρ τῆς γῆς ἁπάσης ἣν διώδευσας φόρον τῷ κράτει ἡμῶν ἐξαπόστειλον καὶ πρὸς Μακεδονίαν φυγὼν διασώθητι. τούτοις δὲ πεισθῆναι μὴ θελήσας οὐ μόνον ἐν Μακεδονίᾳ φυγὼν ⟨οὐ⟩ διασωθήσῃ, ἀλλὰ καὶ εἰς τὸν σύμπαντα κόσμον διερευνήσω

ϵ 36,1–2 et 4–6 hab. Q et γ III 2–3 (RC, lacuna in D); ϵ 36,3 solo in codice Q; nonnulla e ϵ 36,4–5 etiam in K.

1 *διελθόντες* Q: *-θόντων ἡμῶν* γ **2** *τοῦ* Q: *τῶν Ἰνδῶν* γ | *τὸν κοσμοκράτορα* om. γ **3** *τάδε περιέχουσαν* Q: *π. οὕτως* γ **4–5** *ὑπεροψίᾳ – ἐθρασύνετο* Q: *εἰς ὑπεροψίαν μείζονά σε ἐθράσυνε* elegantius γ **5** *θεοῦ* Q: *θεὸν* γ **5–6** *ἀπείρως* γ: *ἄπειρως* Q **6–7** *καὶ μὴ – γῆ* om. γ **7** *τῷ δὲ* Q: *καὶ ὅτι τῷ* γ **8–9** *ὅθεν – τὴν σὴν* Q: om. γ, sequentia turbavit **10** *τὸν ... φόρον* correxi: *τῶν ... φόρων* Q: *τοὺς ... φόρους* γ **11–12** *τούτοις – θελήσας* Q: *τούτοις δὲ τοῖς προστάγμασι τοῖς κελευσθεῖσί σοι ὑπ' ἐμοῦ ⟨εἰ⟩* add. Parthe) *πεισθῆναι μὴ θελήσειας* γ **12** *οὐ* add. Müller **13** *εἰς* C: om. QR

σε καὶ οὐκ ἐκφεύξῃ τὸν θυμόν μου. οὐ γὰρ ἔσται σοι τόπος καταφυγῆς.

(2) Ταύτην οὖν τὴν ἐπιστολὴν δεξάμενος Ἀλέξανδρος καὶ ἀναγνοὺς ἀντιγράφει τάδε·

Ἅ εἶπας ἡμῖν, ὡς τὴν κατὰ Δαρείου νίκην θρασυνθέντας καὶ κατὰ θεῶν ἆραι τὸ δόρυ, καὶ τοῦτο μὲν ἀλήθειαν ἔλεξας. ἀλλ' ἐπειδὴ οἶσθα ὅτι καὶ θεῶν ἐγκρατὴς γέγονα, σοὶ ἐν τίνι ἰσχύς; μὴ καὶ θεῶν σὺ ἀλκιμώτερος; εἰ δὲ καὶ ἀλκῆς μετέχεις θεῶν ὕπερ, ἵνα τί Δαρεῖον οὐκ ἔσωσας; καίπερ βουληθεὶς οὐκ ἠδυνήθης. ἐγὼ δέ σοι οὐχ ὡς θεῷ ἐπελεύσομαι, ἀλλ' ὡς ἑνὶ ἀνθρωπίσκῳ ἀδρανεῖ καὶ ἀμυήτῳ. σὺ δὲ μὴ τῇ ἴσῃ δυνάμει θεοῖς ἀντιπαρατάξασθαι σπούδαξον, ἀλλ' ὥς σοι ἰσχύς, μήποτε καὶ σὺ τὰ ἴσα θεοῖς ἐξουθενωθήσῃ ὑπὸ στρατοῦ Μακεδονικοῦ. ὡς δὲ ἄκων μεμάντευσαι, ἐπίσταμαι κἀγὼ ὅτι κινηθέντα σε φεύγειν οὐ χωρήσει ἡ σύμπασα γῆ,

---

1 τὸν θυμόν Q: τοῦ θυμοῦ γ | ἔσται Q: ἐστιν γ 1–2 καταφυγῆς Q: ἀποκρυβῆς γ (R) 3–4 ταύτην – τάδε om. γ, epistola Alexandri etiam in D 5 ὡς γ: om. Q | θρασυνθέντας Q: -τες γ 6 κατὰ – δόρυ Q: ἐν ὑπεροψίᾳ τὸ δόρυ ἡμῶν ἤραμεν γ | καὶ om. γ | μὲν ἀλήθειαν Q: μετὰ ἀληθείας fortasse recte γ | ἔλεγξας QR 7 θεῶν QD: κατὰ θεὸν RC 7–8 σοὶ (scripsit σὺ) ... ἰσχύς Q: σὺ ... ἰσχύεις γ 8 μὴ καὶ θεῶν QC: μή γε θεοῦ RD | post ἀλκιμώτερος add. εἶ γ: om. Q 9 ὕπερ QR: om. DC 11 ἀλλ' ὡς γ: ἀλλ' Q | ἀμυήτῳ Q: πολέμου ἀμ. γ | μὴ om. Q 12 θεοῖς Q: θεὸν γ | σπούδαξον Q: σπουδάσῃς γ 12–13 ἀλλ' ὥς (ὅσῃ γ) σοι ἰσχὺς del. Parthe 14 δὲ Q: δὲ καὶ γ 15 κἀγὼ Q: γὰρ κἀγὼ γ | κινηθέντα Q: νικηθέντα γ, sed. cf. supra p. 130,6 | χωρήσει Q: χωρήσειεν γ

ἀλλὰ παρ' ἐμοῦ κατασχεθεὶς σὺ ἐν τοῖς ἐξουθενωθεῖσι παραπεμφθήσῃ θεοῖς, οὐκ ἐν Μακάρων νήσοις παρ' Εὐάνθῳ, ἀλλ' ἐν Ἅδῃ συνεῖναι Πλούτωνι. ἐκεῖ γὰρ εἶναί σε χρεὼν καὶ ὡς οἷα θεὸν τοῖς λοιποῖς θεοῖς συναυλίζεσθαι.

(3) Πῶρος οὖν ὁ βασιλεὺς τὴν ἐπιστολὴν δεξάμενος Ἀλεξάνδρου τὴν ὑπ' αὐτὸν ἅπασαν ἐπισυνάξας δύναμιν ἐξῆλθεν Ἀλεξάνδρῳ ἀντιπαρατάξασθαι σὺν ὀκτακισχιλίαις χιλιάσι. πλησίον δὲ γεναμένων τὰ πρὸς μάχην ηὐτρεπίζοντο. Ἀλέξανδρος δὲ τὰς φάλαγγας εὐτάκτως διίστησι, τρισὶ στόμασι τὸν πόλεμον ἐξέρχεσθαι παρασκευάσας, τοῖς ὁπλίταις ἀνδράσι ἀσπιδηφόροις πρὸς μάχην διαταξάμενος. ἔμπροσθεν δὲ αὐτῶν χαλκοῦς ἵστησιν ἀνδριάντας δίκην πυρὸς πεπυρακτωμένους, τῷ εἴδει γυμνοῖς ἐοικότας ἀνθρώποις. τῶν δὲ ἀμφοτέρων μερῶν ἤδη πλησιασάντων ἐκπέμπονται παρὰ Πώρου λέοντες παμμεγέθεις, οἵτινες ἦσαν εἰθισμένοι ἀπολύεσθαι καὶ καθ' ἕνα ἄνθρωπον δραξάμενοι τῇ γῇ κατέπιπτον. τοῦ δὲ φοσσάτου ἐκταραχθέντος εὐθέως αὐτοὶ ἐπεσχύνοντο, καὶ ἀσύστατον εὑρόντες τὴν φάλαγγα †πάντας κυριεύειν· ὢ δὴ† καὶ σφάζειν τὸν ἀντιτασσόμενον μὴ ἔχοντες, οἱ οὖν λέοντες ἀπελθόντες τοῖς χαλκοῖς ἀνδράσιν εὐθέως συμπλέκονται. τὸ δὲ πῦρ αὐτῶν καὶ μᾶλλον ἥψατο καὶ εὐθέως ἀντεστράφησαν ἄπρακτα τὰ θηρία.

---

1 σὺ ἐν τοῖς scripsi: τοῖς ἐν σοὶ Q γ: καὶ ἅμα τοῖς σὺν σοὶ D   3 Ἅδῃ QC: Ἅδου RD   4 καὶ ὡς οἷα – συναυλίζεσθαι om. γ   5 de 36,3 nihil nisi καὶ ἄπρακτα τὰ θηρία τὸ καθόλου ὑπεστράφησαν (ὑποστρέψαντο R) praebet γ   12 post πεπυρακτωμένους linea una obliterata in Q   17 malim ἐπεχύνοντο   20 sq. aliter hic narrat Mgr (ὁ Ἀλέξανδρος ἔστειλεν ὀμπρὸς εἰς τοὺς λέοντες ... βουβάλια καὶ ἀγελάδια ... οἱ λέοντες ... ἐκορέστησαν καὶ ἐγύρισαν ὀπίσω)

(4) Ὡς δὲ τὸν πόλεμον συνεκρότησαν, γενναίως ἀντίκεινται Πέρσαι καὶ Μακεδόνες τῷ Ἰνδικῷ στρατεύματι. δι' ὅλης δὲ τῆς ἡμέρας ἡ μάχη ἀνένδοτος ἦν· τὸ γὰρ ἔμπειρον Ἀλεξάνδρου ἐνίκα τοῦ πλήθους τὴν δύναμιν, ᾔδει γὰρ καλῶς παρατάττεσθαι. ἐπὶ τούτοις ἄφνω ἐλέφαντες ἐμφαίνονται τῇ Ἰνδῶν παρατάξει ξύλινα τείχη ἐπιφερόμενοι, καὶ ἐπ' αὐτῶν ἄνδρες ἔνοπλοι ἦσαν λίθους καὶ δόρατα ταῖς χερσὶν ἔχοντες. ὡς δὲ ταῦτα ἐθεάσαντο Μακεδόνες ἀπέκαμον καὶ τῇ προγονικῇ περιπίπτουσι δειλανδρίᾳ. νὺξ δὲ ὅμως αὐτοὺς διεχώρισε καταλαβοῦσα.

(5) Καὶ δὴ τὰς σκηνὰς καταλαβόντες οὐδὲν αὐτοῖς ἀγαθὸν ἦν τὸ ἐννόημα. ἔδοξε δὲ αὐτοῖς Ἀλέξανδρον παραδοῦναι εἰς χεῖρας Πώρου καὶ ὑπὲρ αὐτοῦ τὸ ζῆν ἐξαιτησαμένοις ἐν Μακεδονίᾳ διασώζεσθαι. ταῦτα δὲ Φίλων καταμηνύει τῷ Ἀλεξάνδρῳ. ὁ δὲ παρευθὺς ἅπαν τὸ πλῆθος προσεκαλέσατο, μέσον

2–3 δι' ὅλης – ἀνέν. ἦν om. γ 4 ᾔδει (οἶδει Q) – τούτοις om. γ 5 ἄφνω κτλ. etiam in K, sub titulo Ἀλέξανδρος Πώρῳ πολεμῶν καὶ τοῖς θηρίοις μετὰ χαλκῶν καὶ πεπυρωμένων ζῴδων ἐν σχήματι στρατιωτῶν | ἐμφαίνονται Q: ἐφαίνοντο K: ἤλθοσαν γ | τῇ Q: τῇ τῶν KR: σὺν τῇ C 6 ξυλ. τ. ἐπιφ. Q: ξυλίνοις ἐπιφ. τείχεσι Kγ 7 ἦσαν Q: ἵσταντο Kγ | λίθους K: λίθοις Q: om. γ 8 προγονικῇ Q Kγ: πρωϊνῇ Parthe 9 διεχώρισε κατ. Q: ἐχώρισεν K: τοῦ πολέμου κατέπαυσεν γ 10 αὐτοῖς Q: παρ' αὐτοῖς Kγ 11 δὲ Q: γὰρ K: om. γ | εἰς Q: εἰς τὰς Kγ 12 ὑπὲρ αὐτοῦ Q: παρ' αὐτῷ Kγ | ἐξαιτησαμένοις Q: -νους Kγ, deinde redit ad rec. β verbis νοήσας οὖν Ἀλέξανδρος ὅτι μέλλει προδιδόσθαι (III 4 p. 141,8 Bergson) K 13 ταῦτα δὲ Φίλων Q: τοῦτο δὲ γνοὺς Φίλων ὁ φίλος τοῦ βασιλέως γ 13–14 τῷ Ἀλεξάνδρῳ γ: Ἀλέξανδρον Q 14 παρευθὺς scripsi: πορευθεὶς Q: om. γ

δὲ πάντων ἵστατο στυγνάζων Ἀλέξανδρος καὶ σὺν δάκρυσι τὸ Μακεδονικὸν ἐξελιπάρει στρατόπεδον. καὶ ἦν αὐτῷ κάλλος ὀδύνης καὶ δάκρυα, καί· ὦ, εἶπεν, στρατὸς Μακεδόνων, εἰ παρ' ὑμῶν μεμίσημαι ὑμεῖς με τοῦ ζῆν ἀπαλλάξατε. ἡ ὑμῶν ῥομφαία ἐν ἐμοῖς παρακαλῶ διελθέτω μέλεσιν, αἰσχύνομαι τὸ ἐμὸν καθυποκῦψαν βλέπειν στρατόπεδον πολεμίοις. ναί, ναί, κτείνατε δή με πάντες ἱκετεύω, εἰ καὶ βούλεσθε Ἰνδοῖς παραδοῦναι. — ὡς οὖν ἐθεάσαντο Μακεδόνες Ἀλέξανδρον κοπετὸν πάντες ἔκοψαν ἐπ' αὐτὸν καί· ὦ δέσποτα, εἶπον, εἰ πάντες ἡμεῖς αὔριον ὑφ' ἓν ἀποθάνοιμεν, οὐκ ἂν σου προτιμησώμεθα μιᾶς τριχὸς ἀποκοπήν. ἀνδρίζου καὶ ἴσχυε καὶ τὸ δοκοῦν σοι πράττε. εὖ ἐν ἡμῖν ἐστιν. — ἐπὶ τούτῳ πάντας κατησπάζετο καὶ πάντες μιᾷ ψυχῇ πρὸς Ἀλέξανδρον ἐπεστράφησαν.

Οἶδε γὰρ καὶ δάκρυον καρδίαν κλίνειν
καὶ μεταστρέφειν ψυχὴν τῶν ἀκαμπέων,
καὶ φύσιν ἐκθρασῦναι τὴν δειλανθεῖσαν,
καὶ πρὸς εὔτολμον γνώμην ἀντισκεδάσαι.

---

1 *ὁ Ἀλ.* γ **2** *τὸ ... στρατόπεδον ἐξελιπάρει* γ: *τὸ* (sic) ... *ἐξελιπάρει στρατὸν* Q **3** *ὀδύνης* scripsi: *ἡδονῆς* Q γ: *λύπης* tempt. Parthe | *δάκρυα* Q: *τὰ δ.* γ | *Μακεδόνων* Q: *Μακεδονικὸς* γ **5–6** *αἰσχύνομαι — πολεμίοις* om. γ **7** *πάντες* Q: *-τας* γ | *καὶ* Q: *γε* γ **8** *Μακ. Ἀλ.* Q: inv. in γ | *κοπετὸν* γ: *-τῷ* Q **9** *εἰ* corr. e *οἱ* Q γ (R): *εἰ οἱ* C **10** *ἀποθάνοιμεν* Q: *-νούμεθα* γ **11** *ἀποκοπὴν* Q: *ἀποβολὴν* γ **11–12** *εὖ — ἐστιν* Q: *ῥαδίως γὰρ ὑπὲρ σοῦ τὸ θανεῖν προθυμούμεθα* γ **12** *κατηοπάζετο* Q: *κατασπάζεται* γ | *πάντες* γ: *-τας* Q **12–13** *μιᾷ ψυχῇ* Q: *ἐκ ψυχῆς* γ **14** *δάκρυον* Q: *δάκρυα* γ **16** *δειλανθεῖσαν* Q: *δειλανδρίαν* γ **17** *ἀντισκ* (*-σχ-* Q) *εδάσαι* QR: *ἀντισκευάσαι* coni. C

ἄν καὶ μάλιστα φιλίας μνήμην ἔχον,
οὐδὲν ἰσχυρότερον τῶν †ἐναντίων†
πρὸς ἀντιπαράταξιν τῶν πολεμίων.

(6) Καὶ δὴ ἡμέρας καταλαβούσης τὸ Ἰνδικὸν εἰς μάχην ἐξῄει στρατόπεδον. ἐλέφαντας δέ, ὡς προεῖπον, ἐπιβεβηκότες δίκην περιπατοῦσαι πόλεις ἐφαίνοντο τοῖς τείχεσι κατωχυρωμέναι. ὡς οὖν εἶδεν Ἀλέξανδρος, εὐθέως καὶ τὴν τούτων διενοήθη †ἐνέργειαν†. τὸ γὰρ ὀξὺ τοῦ νοὸς ταχεῖαν ἐποιεῖτο τὴν ἐνέργειαν. ἐν τούτοις γὰρ Ἀλέξανδρος ἐθαυμάζετο. κελεύει δὲ τοῖς ὁπλίταις ποιῆσαι τοῦτο· ὁπόταν πλησίον γένωνται ἐλεφάντων, κατεχόμενα ἔμπροσθεν ἀκοντίσαι σμικρότατα χοίρων βρέφη μεγάλα γρυλίζοντα. ὡς οὖν ἐλέφαντες εἶδον, εὐθέως ἄνω καὶ κάτω ἐκτιναγέντες τὰ καστρίδια ἔρριψαν καὶ ἀνυποστρεπτὶ φεύγουσιν. καὶ δειλία Ἰνδοῖς ἐκ τούτου ἐπέπεσε καί· ὦ ἡμῖν ἀπὸ τοῦδε, εἶπον, τοῦ μειρακίου, καὶ τοὺς λέοντας ἀπέ-

---

1 *μνήμην ἔχων* Q: *ἐστὶν ἡ γνώμη* γ 2 *οὐδὲν* γ: *οὐδὲ* Q 4 *τὸ Ἰνδικὸν* γ: *τῷ Ἰνδικῷ* Q 5 *ἐλάφαντας* Q: *εἰς ἐλέφαντας* γ | *δὲ ὡς* γ: *ὡς* Q 7 *εὐθέως* Q: om. γ 8–9 haec omnia turbata 8 *ταχεῖαν* Q: *τάχιον* γ (C) | *ἐποιεῖτο* Q: *ἐποίει* γ (C) 9 *ἐνέργειαν* Q: *ἐνθύμησιν* coni. C: om. R | *τούτοις* Q: *-τῳ* γ | post *ἐθαυμάζετο* add. *καὶ ἐπαινεῖτο τὰ μέγιστα* γ 10 *δὲ* Q: *οὖν* γ | *τοῖς* γ: *ταῖς* Q | *ποιῆσαι τοῦτο* om. γ 10–11 *ἐλαφάντων* Q: *οἱ ἐλέφαντες* γ 11 *κατεχόμενα* om. γ | *ἔμπροσθεν αὐτῶν* γ | *ἀκοντίσαι* γ: *ἀκοντίζετε* Q fuit fortasse oratio olim recta 12 *μεγάλα γρυλίζονται, ὡς οὖν ἐλέφαντες εἶδον* Q: *ὡς οὖν ταῦτα εἶδον αἱ ἐλέφαντες καὶ μεγάλα γρυλλίζοντα ἔμπροσθεν αὐτῶν* γ 13–14 *ἀνυπόστρεπτα* R: *ἀνυποστρέπτως* C: *ἀνυπόστρεποι* Q: correxi 15 *ὦ* Q γ: *οὐαὶ* melius esset | *εἶπον* post *μειρακίου* transp. R: post *ἡμῖν* C 15–p. 136,1 *ἀπέστρεψε* γ: *ἐπ-* Q

στρεψε καὶ τοὺς ἐλέφαντας ἀπεδίωξε, ποία δὲ λοιπὸν ἐλπὶς ἡμῶν; — ἐπὶ τούτοις πάλιν πόλεμος συγκεκρότηται καὶ ὑπερισχύουσιν Ἰνδοὶ τῆς τοῦ Ἀλεξάνδρου φάλαγγος. ἐκεῖ πλεῖστα Ἀλέξανδρος ἐμαχήσατο, καὶ μόλις τὸ Ἰνδικὸν ἠδυνήθη ἀποστρέψαι στῖφος, ὥστε καὶ παρ' Ἰνδῶν κυκλωθέντα μόλις ἡ πρόνοια τῷ Βουκεφάλῳ ἵππῳ ἐποχούμενον διεσώσατο. δι' ὅλης οὖν τῆς ἡμέρας ἡ μάχη ἀνένδοτος ἦν, εἰς δὲ τὸ πρὸς ἑσπέραν ἡ νὺξ αὐτοὺς διεχώρισεν.

37

(1) *Παννύχιον δὲ Ἀλέξανδρος τοὺς ὑπ' αὐτὸν παρεθράσυνε καὶ μεγαλοψύχους ἐν τοῖς πολέμοις παρῄνει καὶ μήτε τῇ διώξει ἀσκόπως ἐπεισχύνεσθαι, μήτε τῇ τροπῇ εὐχερῶς ἀναστρέφεσθαι. εἶπεν οὖν αὐτὸν καὶ ὑπὲρ αὐτῶν πάντως ἑτοίμως ἔχειν*

---

2 *ἐπὶ τούτοις* Q: *τούτων οὕτως γενομένων γ* | *πάλιν γ*: *παρ' αὐτῶν* Q | *ὁ πόλεμος γ* | *συγκεκρότηται* Q: *συνεκροτεῖτο γ* 3 *Ἰνδοὶ γ*: *-δοῖς* Q | *τῆς τοῦ Ἀλεξάνδρου φάλαγγος* Q: *τῷ στρατοπέδῳ Ἀλεξάνδρου γ* | *ἐκεῖ πλεῖστα Ἀλ.* Q: *ὁ δὲ Ἀλ. ἐκεῖσε θαυμαστῶς γ* 5 *στῖφος γ*: *τὸ στῖφος* Q | *παρ' Ἰνδῶν γ*: *παριδὼν* Q
6 *ἐποχούμενον διεσώσατο* Q: *ἐπιβάντα διέσωσε γ* 7 *εἰς — ἑσπέραν* Q: *ἑσπέρας διελθούσης γ*

ε 37: Q, nonnulla habet etiam γ III 3–4; ε 37,3 etiam in K
9–12 *παννύχιον — ἀναστρέφεσθαι* habet γ 9 *παννύχιον γ*: *πάνυ* Q
10 *μεγαλοψύχους γ*: *-ως* Q, deinde add. *αὐτοὺς εἶναι* C: om. QR
11 *ἐπισχύνεσθαι* QC | *τροπῇ* Q: *ἀνατροπῇ γ* 11–12 *ἀναστρ.* Q: *ἀποστρ. γ* 12 *πάντως* Q: *πάντων* fortasse scrib.

ἀποθανεῖν ὡς μονομαχήσοντα ἐν λόγῳ τοιῷδε· ἐπὰν τὸ Ἰνδικὸν ἐπελθὸν θεασώμεθα στρατόπεδον, Πώρῳ τάδε πρὸ τῆς συμβολῆς φθέγξομαι, τούτῳ ἐμφανισθεὶς πρὸς μονομαχίαν· εἰ μὲν ἐπελθὼν πατάξει με, ἔστε ὑμεῖς αὐτῷ εἰς δουλείαν, εἰ δὲ καὶ παρ' ἐμοῦ τεθνήξεται, ἔσονται ἡμῖν καὶ Ἰνδοὶ εἰς δουλείαν.

(2) *Ἄρτι τῆς ἡμέρας καταλαβούσης εἰς πλήθη ἀνείκαστα Πῶρος παρετάξατο. ἡ δὲ Ἀλεξάνδρου παράταξις τοιαύτη ἦν· ῥομβοειδὴς καὶ φοβερὰ ὡς οὐπώποτε ἐνεφαίνετο ὥστε καὶ λίαν ἐπ' αὐτῇ δυσχεραίνειν Ἰνδοὺς καί· τίς γε τοιαύτης, εἰπεῖν, περιγενέσθαι δυνήσεται φάλαγγος; — καὶ δὴ πλησίον γενομένων, Ἀλέξανδρος ἐξελθὼν Ἰνδοῖς ἐξεφώνησεν· εἴπατε Πώρῳ ἐξελθόντι μονομαχῆσαι μετ' ἐμοῦ. ἐπάν γε νικήσῃ με, ἐχέτω Μακεδόνας καὶ Πέρσας εἰς δουλείαν καὶ πέρας ὁ πόλεμος λάβῃ. εἰ δὲ καὶ τοῦτο αὐτῷ συμβήσεται, ἔστε μοι καὶ ὑμεῖς δοῦλοι καθὼς καὶ Πέρσαι. καὶ ἵνα τί διά τε Πῶρον καὶ Ἀλέξανδρον τοσαῦτα καταναλίσκωνται πλήθη; — ὁ δὲ λόγος ἔδοξεν ἀρέσαι ἐνώπιον Ἰνδῶν καὶ Πώρου τοῦ βασιλέως. τῇ γὰρ ἑαυτοῦ ἀλκῇ Πῶρος ἐπεποίθει, ἦν γὰρ ὡς ὁ λόγος εἰπεῖν εὐμεγέθης ὑπὲρ ἄνδρα, τῇ δὲ δυνάμει οὐκ εἶχεν ὅμοιον αὐτῷ. εἰς δὲ τὸ νεαρὸν ἐνιδὼν Ἀλεξάνδρου καταφρονεῖ αὐτοῦ καὶ εὐπροθύμως εἰς μονομαχίαν ἐξέρχεται.*

(3) *Καὶ δὴ συμβολῆς ἀμφοτέρων γενομένης Ἀλέξανδρος*

---

1 *μονομαχήσοντα* scripsi: *-ται* Q 3 *συμβολῆς* correxi: *συμβουλῆς* Q 6–7 *ἄρτι — παρετάξατο* habet *γ* 6 *ἄρτι* Q: *ἄρτι δὲ γ* | *πλήθη ἀνείκαστα* Q: *πλῆθος ἀνείκαστον γ* 12 *ἐχέτω* correxi: *ἐχετότω* Q 13 *καὶ πέρας — λάβῃ* habet *γ* 14 membrana ante *ὑμεῖς* perforata in Q 16 *καταναλίσκονται* Q | *ἀρέσαι* correxi: *ἀρᾶσαι* O 18 *ἐπεποίθει* dubitanter correxi: *ἐπιποίθη* Q 19 *εἶχεν* correxi: *εἶχον* Q

ὄπισθεν ἀπεπήδησε τάδε πρὸς Πῶρον λέξας· οὐκοῦν μετὰ δύο εἶπον μονομαχῆσαι· ἀντιστραφήτω ἐκεῖνος. — ἐπὶ τῷ ῥήματι Πῶρος ἐπεστράφη καὶ εἰσπηδήσας Ἀλέξανδρος τῇ ῥομφαίᾳ αὐτοῦ ἐν τῇ πλευρᾷ ἐβάπτισε Πώρου. καὶ παραχρῆμα ἐτελεύτησε Πῶρος πεσών. τότε ὠλόλυξαν μέρη ἀμφότερα καὶ Ἀλέξανδρον ἐπευφήμησαν καὶ κύριον κόσμου αὐτὸν ἀνηγόρευσαν. καὶ οὐκ ἦν Μακεδόσιν ὀφθαλμοῖς τοῦ θεάσασθαι Ἀλέξανδρον, ἀλλὰ πάντες κάτω ἔνευον ὡς ἀπό τινος ἐρυθριῶντες αἰσχύνης, μνήμην ποιούμενοι τῶν παρ' αὐτοῖς ἐνθυμιῶν.

(4) Ὡς δὲ κύριος καὶ αὐτῶν ἐγεγόνει, τὸ σκυθρωπὸν Μακεδόνων ἐθεράπευε καὶ ἀμνήμων τῶν ἐναγῶν βουλευμάτων ὡς δῆθεν ἐνουθέτει, τόδε ἐπειπὼν αὐτοῖς τὸ διστίχιον·

ἐπὰν ἀνάγκη καὶ βία καταλάβῃ
†ἀπορήσας ὅμως δὲ τῆς ζωῆς μέτρον

---

1 *τάδε* Q: *τόδε τὸ* K | post *δύο* add. *μόνον* K: om. Q 2 *ἀντιστραφήτω* Q: *ἀντιστρέφετω* K | *ἐπὶ* Q: *ἐπὶ δὲ* K 3 *ἐπεστράφη* Q: *περιστραφεὶς* K 3–11 sequentia usque ad *βουλευμάτων* habet etiam γ 3 *εἰσπηδήσας Ἀλ.* Q: *ὁ δὲ Ἀλ. εἰσπηδήσας* γ 4–5 *ἐτελεύτησε Πῶρος* QK: *ὁ Πῶρος τελευτᾷ* γ 5 *πεσών· τότε ὠλόλυξαν* Q: *πεσόντων τε ὠλόλυξαν* K: *πρηνεῖς δὲ πεσόντες* ut vid. γ | *μέρη ἀμφότερα* Q: *μέρη ἀμφοτέρων* K: *τὰ ἀμφότερα μέρη* vel *ἀμφ. τὰ μέρη* γ 6 *κόσμου* QK: *παντὸς κόσμου* γ | post *ἀνηγόρευσαν* redit K ad narrationem rec. β (*ἤρξατο οὖν ὁ Ἀλ. λέγειν πρὸς τοὺς Ἰνδούς · τάλανες Ἰνδοί, κτλ.* = III 4 p. 142, 10 sq. Bergson) 7 *Μακεδόσιν ὀφθαλμοῖς* γ: *Μακεδόνες ὀφθαλμὸς* Q 9 *τῶν ... ἐνθυμιῶν* Q: *τοῦ ... ἐνθυμήματος* γ 10 *καὶ αὐτῶν* Q: *Ἀλέξανδρος καὶ Ἰνδοῖς* γ 11 *ἐθεράπευε* Q: *ῥαδίως ἐθεράπευσεν* γ | post *ἀμνήμων* add. *ἦν* γ: om. Q | *ἐναγῶν* γ: *ἐνάγχως* Q 11–p.139,1 *ὡς δῆθεν – θανεῖν* om. γ 12 *ἐπειπὼν* correxi: *ἐπεῖπον* Q

πολλῶν λόγων εὕρημα ὥστε μὴ θανεῖν†.

ὡς δὲ ἐν τοῖς βασιλείοις Πώρου εἰσῆλθε, πᾶσα ἡ ἀνατολὴ καὶ αἱ αὐτῆς χῶραι δουλικῶς Ἀλεξάνδρῳ ὑπήκουσαν.

38

(1) Ἐκεῖσε δὲ ἐνιαυσιαῖον διατρίψας χρόνον καὶ κατὰ τῶν βορείων ἔδοξεν ἀνατολῆς μερῶν ἐπεξελθεῖν. πάσας γὰρ τὰς πόλεις αὐτῶν ἐπόρθει καὶ οὐκ ἦν ὁ ἀντιμαχήσασθαι δυνάμενος Ἀλεξάνδρῳ.

(2) Καταλαμβάνει οὖν καὶ ἐν τοῖς μέρεσιν Ἀμαζονίδων. αὗται δὲ αἱ Ἀμαζόναι γυναῖκες ἦσαν παρθέναι ἐν πόλει οἰκοῦσαι ὀχυρωτάτῃ. πολέμου δὲ αὐταῖς ἐπελθόντος καὶ λίαν ἐμπειρότατα ἐπολέμουν μηδενὶ ὑποτασσόμεναι. ὡς δὲ τὰ περὶ Ἀλεξάνδρου ἀνέμαθον, ὅτι μέλλει τὴν πόλιν αὐτῶν καταλαμβάνειν, πρέσβεις πρὸς αὐτὸν ἀποστέλλουσι γυναῖκας εὐειδεστάτας καὶ δῶρα πολύτιμα καὶ φόρους ἐτῶν τριῶν καὶ ἐπιστολὴν τάδε ἀναγορεύουσαν·

(3) Φήμη τις ἦλθε ταῖς ἡμετέραις ἀκοαῖς, ὦ δέσποτα κοσμοκράτορ, ὡς τὴν ἡμετέραν καταλαβέσθαι πολύχουν ἠθέλησας

---

2 ὡς γ: ὁ Q accedit nunc denuo codex D | ἐν τοῖς βασ. Πώρου εἰσῆλθε Q: τοῖς βασ. Πώρου ὁ Ἀλέξανδρος εἰσέδυ γ 3 αἱ om. Q 38,1–2 solo in codice Q; 38,3–4 etiam in γ III 26
4–5 καὶ κατὰ ... ἐπεξελθεῖν Q: ἔδοξεν οὖν αὐτῷ τὸ καταβόρειον (R: κατὰ τὸ βόρειον D: κατὰ βορρᾶν C) μέρος ὑπεξελθεῖν habet γ initio cap. III 17 13 εὐειδεστάτους Q: correxi 17 a voce ὡς τὴν ἡμετέραν incipit γ | πολύχουν Q: πολίχνην fort. melius RC: πολίχνιον D | post ἠθέλησας add. οὖν γ: om. Q

καὶ μετὰ γυναικείου μαχήσασθαι στίφους. καὶ τοῦτο ἡμεῖς μὲν οὐ πιστούμεθα τόδε σοι εἶναι ἐνθύμιον, ὅμως ὡς τῷ κόσμου κυρίῳ καὶ ἡμεῖς ὑπείκειν ἠθελήσαμεν καὶ τάδε ἡμῶν εὐτελῆ ἀπεστείλαμεν δῶρα σὺν τοῖς ἐτησίοις φόροις. δέχοι' οὖν καὶ τὸν καθ' ἡμῶν θυμόν σου ἀντίστρεφε. καὶ ὁ μετὰ πλήθους ἀνδρείου μαχησάμενος στίφους καὶ νικητὴς κράτιστος τοῖς πᾶσιν ἀναδειχθεὶς μὴ θελήσειας καὶ γυναικείῳ χρήσασθαι αἵματι. ἄδηλα γὰρ τὰ τῆς τύχης συναντήματα· καὶ μήπως τὸ περιβόητον τῶν ἀνδραγαθημάτων ἐν γυναικείᾳ ἀπολέσειας μάχῃ. ἐπάν γε ἐπελθὼν καὶ τῷ ἡμετέρῳ ὀχυρώματι μὴ ἰσχύσειας, ποία αἰσχύνη σοι ἀπράκτῳ ἀντιστρέφεσθαι; ἐπὶ τούτῳ, ὦ δέσποτα, δεόμεθα· τὴν ἡμῶν μὴ ὑπερίδῃς συμβουλήν. ὡς γὰρ δοῦλαι πισταὶ τῷ ἡμετέρῳ δεσπότῃ τεθαρρήκαμεν τὰ συμβησόμενα δῆλα ποιῆσαι. εἰκόνα δὲ σὴν ἐξαπόστειλον ἡμῖν, ᾗπερ τὸ σέβας ἀντὶ σοῦ ποιησόμεθα.

(4) *Ἀλέξανδρος τοίνυν δεξάμενος τὴν ἐπιστολὴν καὶ ἀναγνούς, ἅμα μὲν τὰ δῶρα θεασάμενος καὶ τοὺς τριῶν χρόνων φόρους, τήν τε τῶν γυναικῶν θέαν καὶ τὴν ἐν αὐταῖς σύνεσιν,*

---

2 *τόδε* Q: *ἐν* γ | *ἐνθύμιον* Q: *καταθύμιον* γ | *κόσμου* add. e γ: *τῷ κυρίῳ* Q: *τοῦ κόσμου κυρίῳ* (*κύριον* RC) γ 3 *ὑπείκειν* γ: *εἰπεῖν* Q 4 *ἀπεστείλαμεν* Q: *ἀπ. σοι* γ | *δέχοι'* Q: *δέξαι* γ | post *οὖν* add. *ταῦτα* γ: om. Q 6 *ἀνδρείου .... στίφους* Q: *ἀνδρῶν* 7 *θελήσειας* γ: *-σας* Q 7–8 *γυναικεῖα χειρήσασθαι αἵματα* Q 8 *μήπως* Q: *μήπω* γ 9 *ἀνδραγαθημάτων σου* γ 10 *γε* Q: *δὲ* γ | *ἐπελθὼν* Q: *ἐλθὼν* γ 12 *ὦ δέσποτα δεόμεθα* Q: *δεόμεθά σου* (*σοι* R) *ὦ δέσποτα* γ 12–13 *τὴν ἡμῶν ... συμβουλήν* Q: *ἡμῶν ... τὴν συμβουλήν* γ 16 *τοίνυν* Q: *δὲ ταύτην* γ 17–18 *τοὺς τριῶν χρόνων φόρους* Q: *φόρους χρόνων τριῶν* ut vid. γ 18 *ἐν αὐταῖς* Q: *εἰς αὐτὰς* γ

παρ' ὀλίγον ἔπαθέν τι ἀνθρώπινον. καὶ δὴ τὸ δόρυ αὐτοῦ ἐξαπέστειλεν εἰπών· τόδε ἀντὶ Ἀλεξάνδρου ἔστω ὑμῖν.

39

(1) Καὶ δὴ τὰ ἐκεῖσε διελθὼν τῷ Εὐρυμίθρῃ τῷ ἄρχοντι τῶν Βερσίλων ἧκε πολεμήσων, ὡς μὴ εἴξαντι τῷ Μακεδονικῷ ὑποκύψαι στρατῷ. ταῦτα δὲ Εὐρυμίθρης μαθὼν τοὺς ὑπ' αὐτὸν ἀναλαβόμενος ἄνδρας ἐπιλέκτους ὡσεὶ χιλιάδας ὀκτακοσίας τὴν πρὸς Ἀλέξανδρον ἀντιπαράταξιν ὥρμησε. προκαταλαβό-

---

1 παρ' ὀλίγον Q: παρὰ βραχὺ γ | καὶ δὴ Q: om. γ 1–2 ἐξαπέστειλεν εἰπών Q: ἐξαποστείλας εἶπεν γ 2 τόδε ... ὑμῖν Q: ἔστω ὑμῖν τοῦτο ἀντὶ Ἀλεξάνδρου γ | K praebet in fine cap. III 26 δεξάμενος δὲ αὐτὰς Ἀλέξανδρος καὶ ἰδὼν ἐθαύμασεν τοῦ τε κάλλους καὶ μεγέθους καὶ τῆς δυνάμεως αὐτῶν, καὶ ἐλθὼν κατεσκόπησεν τὴν αὐτῶν χώραν πᾶσαν [καὶ λαβόντες παρ' αὐτῶν κτλ. sicut β III 27, p. 174,10 Bergson – verba ἐθαύμασεν – δυνάμεως αὐτῶν etiam in cod. C p. 397, 19 Parthe

ε 39 = γ III 26a; habet etiam K
3 τὰ Q: τῶν γ καὶ διελθὼν ἐκεῖθεν καὶ ταῦτα Εὐρυμίθρης μαθὼν τοὺς ὑπ' αὐτὸν ἀναλαβόμενος incipit K post β III 17, cf. Bergson p. 152 ad 1.12 4 Βερσίλων Q: Βελσυρῶν γ: om. K: ὑπῆγεν πρὸς τὸν Εὐρύμιτρον τὸν βασιλέαν τῆς Μυρσιλείας Mgr 5 εἴξαντι – στρατῷ Q: ὑποκύψαντι (-ταR) δουλικῶς τῷ Μακεδονικῷ κράτει γ | ταῦτα – μαθὼν Q: μαθὼν δὲ τοῦτο ὁ Εὐρ. γ 6 ἐπιλέκτους QK: om. γ
7 τὴν πρὸς Ἀλέξανδρον (πρὸς τὴν Ἀλεξάνδρου C) ἀντιπαράταξιν Qγ: τὴν παράταξιν Ἀλέξανδρος K: πρὸς Ἀλέξανδρον ἀντιπαραταξάμενος D
7–p. 142,1 προκαταλαβόμενος Q: καὶ λαβόμενος K: ἐγγίσας γ

μενος δὲ τὰς αὐτοῦ προφυλακὰς ἐθεάθη ὑπ' αὐτῶν, καὶ δῆλα τῷ Ἀλεξάνδρῳ τὰ περὶ Εὐρυμίθρους ἐγένοντο. αὐτὸς δὲ τὰς προφυλακὰς δυναμώσας καὶ εἰς πλῆθος χιλιάδων χιλίων αὐτὰς ποιήσας, πάντας χρυσέοις τεθωρακισμένους θώραξι ταῖς πιστευθείσαις αὐταῖς φυλακαῖς εἴασε παραμένειν, Σέλευκον δὲ τοῦ στίφους ἡγεῖσθαι διωρίσατο.

(2) Ὁ οὖν Εὐρυμίθης τῇ προλαβούσῃ νυκτὶ κατασκόπους εἰς τὸ τοῦ Ἀλεξάνδρου ἀπέστειλε φοσσᾶτον, οἵτινες κατασκοπήσαντες ἐπανῆκαν Μηδεμίαν, εἰπόντες, ἡμῶν μνείαν ἔχειν ἐν τῷ τοῦ Ἀλεξάνδρου στρατοπέδῳ. πληθὺς δὲ αὐτῷ καὶ στρατιὰ ἀνείκαστος, ὥστε οὐ δυνησόμεθα πρὸς αὐτὸν εἰ μὴ τὰς προφυλακὰς καταλαβόμενοι ἀθρόως αὐτοὺς τὸν πόλεμον ἐπιρρίψωμεν. τῷ δὲ ἀπροσδοκήτῳ θροηθέντες συναντήματι φυγαῖς χρήσονται, ἕκαστος τὴν ἰδίαν περιποιούμενος σωτηρίαν. ταῦτα

---

1 *αὐτοῦ* correxi: *αὐτῶν* QK: *Ἀλεξάνδρου* (post *προφυλακὰς*) *γ* **2** *τὰ* QRC: om. KD | *αὐτὸς* correxi: *αὐτοὶ* K: *αὐτὰς* Q: *ὁ δὲ Ἀλέξανδρος γ* **3** *χιλίων* QK: *οὐκ ὀλίγων γ* **4** *τεθωρακισμένοις* QKR: *-νους* melius C: alia per se D **5** *πιστευθείσαις* K*γ*: *-θεῖσιν* Q | *αὐταῖς* QR: *αὐτοῖς* KD: om. C | *φυλακαῖς* Q: *φύλακες* K: *φυλάξεσιν* DC: *φύλαξιν* R | *εἴασε παραμ.* Q: *παρ. προσέταξεν γ*: *παρ. ἐκέλευσεν* K **8** *τὸ ... φοσσᾶτον* K*γ*: *τὸν ... στρατὸν* Q **9** *ἐπανῆκαν* Q: *-κον γ*: *ἀπῆλθον πρὸς Εὐρυμίθρην* K **9–10** *ἐν τῷ — στρατοπέδῳ* QK: *οἱ περὶ Ἀλεξάνδρου γ* **10–11** *πληθὺς* (*-θη* K) *δὲ αὐτῷ* (*-τῶν* K) *καὶ στρατιὰ* (*-αν* K) *ἀνείκαστος* (*-ον* K) QK: *ὁ δὲ Ἀλέξανδρος ἐστρατοπεδωπλίσατο* (*εἰς αὐτὸν* add. R) *στρατιὰν ἀνείκαστον, οἱ δὲ περὶ Εὐρυμίθρην* (*τοῦ Εὐρυμίθρους* R) *βουλὴν τοιαύτην ἔδωκαν γ* **12** *αὐτοὺς* Q: *αὐτοῖς γ*: *αὐτὸν* post *πόλεμον* K | *τὸν* Q: om. K*γ* **13** *φυγαῖς* Q: *φυγὰς* K*γ*

δὲ εἶπον βουλευσάμενοι μήπω τὰ τοῦ Ἀλεξάνδρου διανοήσαντες ἔνεδρα.

(3) Σκοπησάντων οὖν τὰς προφυλακὰς Ἀλεξάνδρου κυκλῶσαι ⟨καὶ⟩ νυκτὸς ἐνθένδε ἐπιβάντες τῷ δοκεῖν ἀσυμφθάστως πάντας θηρεῦσαι, ὡς τὰς τάξεις ἐθεάσαντο τὰ πρὸς πόλεμον ἐπιλαθόμενοι τὰ πρὸς φυγὴν ἤρξαντο δυσανασχετεῖν. ὡς δὲ καὶ Σέλευκος ἐπὶ τούτοις ἐπεκτείνει τὴν φάλαγγα, πάραυτα πάντες ἐτράπησαν ὡς πληρωθῆναι τὸ Ὁμηρικὸν ῥητὸν ἐπ' αὐτοῖς·

ἐπέβη μὲν ὡς λέων, ἀντέβη δὲ ὡς ἔλαφος.

τοῦτο δὲ καὶ παρὰ Ἀλεξάνδρου ἐρρέθη ἐπὰν δὲ τὴν αὐτῶν ἀκηκόει ἀδρανίαν. καὶ ὥσπερ λέοντες ἐπέβησαν. ἐπιδραμόντες οὖν αὐτοῖς οἱ περὶ Σέλευκον καὶ Εὐρυμίθρην καταλαβόντες ... μηδενὸς ὑπολειφθέντος †ὥστε καὶ Εὐρυμίθρης αὐτὸς ἐγκρατὴς ἐγένετο.

---

1 εἶπον βουλευσάμενοι QK: ἐβουλεύσαντο γ 1–2 τὰ ... ἔνεδρα Q: τὸ ... ἔνεδρον Kγ 3–4 σκοπησάντων – κυκλῶσαι QK: κυκλοῦσιν οὖν γ 4 καὶ addidi | τῷ Parthe: τὸ omnes | ἀσυμφθάστως Q: ἀσύμφθαστος K: ἀσυμφθάστους γ 5 τὰς K: δὲ τὰς γ: om. Q | τάξεις QK: παρατάξεις γ | post ἐθεάσαντο add. Ἀλεξάνδρου γ, καὶ Q: om. K 6 δυσανασχετεῖν QK γ: δυσανασχετοῦντες melius D 7 πάραυτα K: παρ' αὐτὰ Q: παρευθὺς γ 8 ἐπ' Q: ἐν Kγ 11–12 τοῦτο – ἐπέβησαν QK: om. γ 11 ἐρέθη K: εὑρήθη Q 13 αὐτοῖς Q: αὐτῷ K: om. γ | περὶ Kγ: ὑπὲρ Q | lacunam statui; sequitur locus mutilatus, quem codd. sanare conati sunt aliter alius **14–p.144,2** μηδενὸς – ἐκυρίευσε καὶ κατεδίωξεν QK: οὓς μὲν ἀνεῖλον, οὓς δὲ κατεδίωξαν decurtavit γ 14 ὑπολειφθέντος Q: -τες K | ὥστε Q: ὡς δὲ K | αὐτὸς Q: τῇ προλαβούσῃ νυκτὶ K 15 ἐγένετο Q: ἐγεγόνει K

(4) Ἀλέξανδρος δὲ πάντας τῶν βορείων ἐθνῶν ἐκυρίευσε καὶ κατεδίωξεν ὀπίσω αὐτῶν τὰ πρὸς βορρᾶν ὁδὸν ἡμερῶν διακοσίων μέχρι ὀρέων δύο τῶν μεγάλων ἐν τῷ ἀφανεῖ κόσμῳ, ἃ προσηγόρευσε Μαζοὺς τοῦ Βορρᾶ. ἐκεῖσε οὖν διελθόντων αὐτῶν οὐκέτι αὐτοὺς κατεδίωξεν. ἰδὼν δὲ τὰ δύο ὄρη ἐκεῖνα ἐπιτήδεια εἶναι εἰς ἀποκλεισμὸν τῆς ἐξόδου αὐτῶν, ἐκεῖσε παραμείνας τὸν θεὸν ἐξιλεοῦτο ὅπως συνελθόντα τὰ ὄρη τὴν τούτων διακωλύσωσιν ἔξοδον.

(5) Στὰς δὲ ηὔξατο οὕτως εἰπών·

Ὦ θεὲ θεῶν καὶ κύριε πάσης κτίσεως, ὁ τῷ λόγῳ σου δημιουργήσας τὰ σύμπαντα, οὐρανόν τε καὶ γῆν, ἀδυνατεῖ σοι οὐδέν· ὡς γὰρ δοῦλα πάντα ὑπείκει τῷ λόγῳ τοῦ προστάγματός σου. εἶπες γὰρ καὶ ἐκτίσθησαν, ἐνετείλω καὶ ἐγενήθησαν.

39,4 sqq. cf. Revelationes Ps.-Methodii ed. van Thiel p. 72 sqq. **1** δὲ Q: om. K | πάντων Q: πάντων K de his in Mgr nihil nisi ὁ Εὐρυμίθρης μὲ τὸ φουσᾶτον ἤθελε νὰ κτυπήση τὸν Ἀλέξανδρον. ὁ Σελεύκιος τὸν ἐκτύπησεν ἔξαφνα ὁποῦ οὐδὲν τὸν ἀπάντεχε, καὶ ἐτζάκισέ τον καὶ αὐτὸν ἐπίασε ζωντανόν. καὶ ἤφεράν τον εἰς τὸν Ἀλέξανδρον καὶ ὅρισεν ὁ Ἀλέξανδρος καὶ ἔκοψαν τὸ κεφάλιν του **2** ὀπίσω Q γ: ὄπισθεν K ὀπίσω αὐτ. post βορρᾶν γ **3** διακοσίων Q: πεντήκοντα Kγ **4–5** διελθόντων αὐτῶν Q: συνεισελθόντων τῶν ἐθνῶν ἐκείνων D: εἰσελθόντας (αὐτὸν K) KC: συνελθόντας R **5–6** τὰ δύο ὄρη ἐκεῖνα ἐπιτήδεια QCD: τοῖς δυσὶν ὄρεσιν ἐκείνοις ἐπιτηδείους RK **7** τὸν θεὸν Q: τὸ θεῖον Kγ | ἐξιλεοῦτο QC: -ται RK: ἐξιλεούμενος D **9** στὰς – εἰπὼν Kγ: καὶ Q, qui add. εἶπεν post κτίσεως **10** ὦ Q: om. Kγ **11** ἀδυνατεῖ Qγ: ἀδύνατα K **13** εἶπες QK: εἶπας γ

σὺ εἶ μόνος αἰώνιος, ἄναρχος, ἀόρατος, θεὸς μόνος, καὶ οὐκ ἔστι πλὴν σοῦ. ἐπὶ γὰρ τῷ σῷ ὀνόματι καὶ θελήματι κἀγὼ ἐποίησα ἃ ἠθέλησα, καὶ ἔδωκας ἐν χειρί μου τὸν σύμπαντα κόσμον. παρακαλῶ οὖν τὸ πολυΰμνητον ὄνομά σου, καὶ τήνδε τὴν δέησίν μου ἐκπλήρωσον καὶ τὰ δύο ὄρη ταῦτα θέλησον συνελθεῖν καθὼς ᾐτησάμην καὶ μὴ παραβλέψῃ με τὸν ἄθλιον ἱκέτην σου, τεθαρρηκότα τοιαῦτα λαλῆσαι. ἐπίσταμαι γὰρ τὴν πρὸς ἐμέ σου κηδεμονίαν καὶ ἄκραν ἀγαθότητα.

(6) Παραχρῆμα *δὲ συνῆλθον τὰ ὄρη ἀλλήλοις ὡς ἀπὸ πηχῶν διεστάναι δώδεκα. Ἀλέξανδρος δὲ θεασάμενος τὸ γεγονὸς ἐδόξασε τὸν θεόν. καὶ ἔκτισε πύλας χαλκᾶς καὶ τὸ στενόπορον τῶν δύο ὀρέων ἠσφαλίσατο καὶ περιέχρισεν ἀσυκείτῳ. ἡ δὲ φύσις τοῦ ἀσυκείτου ἐστὶν τοιάδε· οὔτε πυρὶ καιόμενον, οὔτε σιδήρῳ προσαπτόμενον. ἔνδοθεν δὲ τῶν δύο πυλῶν καὶ μέχρι τῆς εὐρυχωρίας ὡσεὶ μίλια τρισχίλια βάτον ἐφύτευσεν ἥτις ἀρδευθεῖσα τοῖς ὄρεσιν ὑπερεκόμασεν.*

---

2 ante *πλὴν* add. *ἄλλος* C: *ἕτερος* D: om. QKR | *σῷ* Kγ: om. Q, qui habet *σου* post *θελήματι* 3 *ἠθέλησα* Q: *–σας* Kγ 5 *ἐκπλήρωσον* Q: *πλήρωσον* Kγ | *τὰ δύο ὄρη* QDC: *τοῖς δυσὶν ὄρεσι* KR | *ταῦτα* QDC: *τούτοις* R: *τοῦτο* K 6 *συνελθεῖν* QDK: *συνεισελθεῖν* γ | *με* Kγ: om. Q | *ἄθλιον* Kγ: *ἀχρεῖον* Q 7 *ἱκέτην σου* Q: om. Kγ 9 *παραχρ. δὲ* QK: *καὶ παραχρ.* γ 10 *διεστάναι* QK: *διιστάμενα* γ | post *δώδεκα* add. *τὸ πρότερον* γ: om. QKD 11 *ἔκτισε* Q: *ᾠκοδόμησε* Kγ: *κατεσκεύασε* Ps. Meth. 11–12 *τὸ στενόπορ(ον)* K: *τὸ στενοπῶν* Q: *τῷ στενῷ τόπῳ* γ 12 post *περιέχρισεν* add. *αὐτῷ* RK: *αὐτὰς* C: *ἐν αὐταῖς* D: om. Q | *ἀσυκείτῳ* Q: *ἀσίκητον* Kγ: exigitur *ἀσυγχύτῳ*, sed non scripsit ε 13 *καιόμενον* QK: *καίεται* γ 14 *προσαπτόμενον* QK: *προσάπτεται* γ *οὔτε σιδήρου ὑφίσταται τὴν κατάκλησιν* (*ictus ferientis* versio Lat.) *οὔτε πυρὸς τὴν διάλυσιν* Ps. Meth. | *δὲ* Kγ: om. Q

(7) Ἐκεῖσε οὖν Ἀλέξανδρος εἴκοσι δύο βασιλεῖς ἐναποκλείστους ἐποίησε σὺν τοῖς ὑπ' αὐτῶν ἔθνεσιν ἐν τοῖς πέρασι τοῦ βορρᾶ, τὰς μὲν πύλας Κασπίας ὀνομάσας, τὰ δὲ ὄρη Μαζούς. καὶ τὰ ὀνόματα τῶν ἐθνῶν τάδε ἦν· Γώθ, Μαγώθ, Ἀνούγ, Ἀγείς, Ἐξενάχ, Διφάρ, Φωτιναῖοι, Νεύνιοι, Φαριζαῖοι, Δεκλημοί, Ναζάρται, Θεανοί, Ζαρματιανοί, Χαχόνιοι, Ἀγριμάρδοι, Ἀνθρωποφάγοι, οἱ λεγόμενοι Κυνοκέφαλοι, Θαρβαῖοι, Ἄλανες, Φισολονικαῖοι, Ἀλκηναῖοι, Σαλτάριοι.

(8) Ταῦτα τὰ εἴκοσι δύο ἔθνη καθεστήκασιν ἔνδον τῶν πυλῶν ἅσπερ ἔπηξεν Ἀλέξανδρος ὁ βασιλεὺς διὰ τὴν ἀκαθαρσίαν αὐτῶν. ἤσθιον γὰρ κρέη μυσαρά τε καὶ κίβδηλα, κύνας, μύας,

---

1 *οὖν* Kγ: *δὲ* Q **2** *ὑπ'* (*μετ'* C) *αὐτῶν* QO: *ὑπ' αὐτοὺς* Kγ **4** *καὶ τὰ* QK: *τὰ δὲ* γ | *τάδε ἦν* (*εἰσίν* K) QK: *εἰσὶ* (*ἦσαν* C) *ταῦτα* γ | *Ἀνούγ* Q: *Ἀνουγοί* Kγ **5** *Ἀγείς* QK: *Ἐγεῖς* γ | *Ἐξενάχ* QDC: *Ἐξανάχ* KR | *Φωτιναῖοι* Qγ: om. K | *Νεύνιοι* Q: om. Kγ **5–6** *Δεκλ. Ναζ. Θεανοί* Q: om. Kγ **6** *Ζαρματιανοί* Kγ: *Ζαμαρτιανοί* Q **7** *ἀνοφάγοι* Q: *ἀνουφάγοι* Kγ | *οἱ λεγ. Κυνοκέφαλοι* QK: om. γ | *Θαρβαῖοι* Qγ: *Θυβαῖοι* K **8** *Φισολον.* Kγ: *Φιλισον.* Q | *Ἀλκηναῖοι* Q: om. Kγ | *Σαλτάριοι* KDC: *Σατάριοι* Q: *Σαλάταροι* R | deinde add. *καὶ οἱ ἕτεροι* γ | immundarum gentium nomina e revelatione Ps.-Methodii cf. indicem nominum **9** post *ἔθνη* add. *ἃ* γ: om. QKD **10** *ἅσπερ* Q: *ὧνπερ* Kγ **11** *κρέη* Q: *σκαρίδια* Kγ (R) | *ἤσθιον γὰρ ἅπαντες αὐτῶν κανθαροειδῆ μυσαρά τε καὶ κίβδηλα, comedebant enim hi omnes cantharo speciem omnem coinquinabilem vel spurcebilem* Ps. Meth. red. I **12** *μύας* KDC vel *μυὰς* Q i. e. mures, sic etiam in Ps. Methodii versione Latine: nec vero *μυίας* i.e. muscas, sicut R et Ps. Meth. p. 72,9 van Thiel | deinde add. *κάττας* Ps. Meth. red. I: om. ε Ps. Meth. red. II et versio Lat.

ὄφεις, ἀμβλώματα, ἐκτρώματα, νεκρῶν σάρκας, ἔμβρυά τε οὔπω τελέως ἀπαρτισθέντα ἀλλὰ μόνον τῆς διαπλάσεως ἀποσῴζοντα χαρακτῆρα, οὐ μόνον δὲ κτηνῶν ἀλλὰ καὶ πᾶν εἶδος θηρίων καὶ ἀνθρώπων. ὁμοίως δὲ καὶ τοὺς νεκροὺς αὐτῶν ἤσθιον. ταῦτα δὲ πάντα θεασάμενος Ἀλέξανδρος δεδοικὼς μήποτε ἐξελθόντα μιάνωσι τὴν γῆν κατακλείστους ποιήσας τῶν ἐκεῖσε ἀπῆρεν. καὶ ὥρμησεν ἐπὶ τὴν οἰκουμένην πάλιν

---

1 ἀ(μ)βλώματα Kγ Ps. Meth.: ἀναλώματα Q | τε QK: τε τὰ γ: om. Ps. Meth. 2 οὔπω QK: μήπω Ps. Meth.: οὐ C: μὴ D: om. R | τελέως QK: τελείως γ Ps. Meth. | ἀλλὰ μόνον Q: ἤ τινα Ps. Meth.: ἵνα K: ἵνα τὸν R: om. C: alia per se D 3–4 ἀποσῴζοντα Q Ps. Meth.: ἀποστάξαντα K: ἀποτάξονται R: om. DC haec in versione Graeca corrupta: *aborticia informabilia corpora, et ea que in alvo necdum per leniamenta coaculata sunt vel ex aliqua parte membrorum producta conpago formam figmenti possit perficere vultum vel figuram expremere* Ps. Meth. versio Lat. 3 οὐ μόνον δὲ κτηνῶν ἀλλὰ QK: καὶ οὐδὲ κτηνῶν ἀλλὰ R: om. DC: καὶ ταῦτα κτηνῶν οὐ μὴν ἀλλὰ Ps. Meth. red. I: καὶ ταῦτα οὐ μόνον κτηνῶν ἀλλὰ Ps. Meth. red. II 3–4 καὶ πᾶν – ἀνθρώπων QK Ps.-Meth.: om. γ 4 καὶ ἀνθρ. Q: ἀνθρώπων K: ἀκαθάρτων Ps. Meth.: *et haec iumentorum necnon etiam et omne speciem ferarum inmundarum* Ps. Meth. versio Lat. | ὁμοίως δὲ καὶ QK: ὁμοίως καὶ C: om. RD 4–5 τοὺς δὲ νεκροὺς οὐκ ἔθαπτον ἀλλὰ πλείω (*saepe* vers. Lat.) ἤσθιον αὐτούς Ps. Meth. 5–6 ταῦτα – γῆν ε: ταῦτα ἰδὼν ... δεδιὼς μήποτε μιάνωσιν πᾶσαν τὴν γῆν Ps. Meth. 6 ἐξελθόντα Q: -τες Kγ | γῆν QK: οἰκουμένην καὶ γ | αὐτοὺς ante ποιήσας Kγ: om. Q: 7 ἀπῆρεν Q: παρῆλθεν γ: διῆλθεν K | ἐπὶ τὴν οἰκ. Qγ: πρὸς Κανδάκην K, deinde habet subscriptionem ἔνθα Ἀλέξανδρος συνάψας πόλεμον μετὰ Εὐρυμίθρους καὶ καταδιώξας αὐτοὺς ἀπέκλεισεν εἰς τοὺς Μαζοὺς τοῦ Βορρᾶ καὶ ἐποίησεν χαλκᾶς θύρας καὶ Κασπίας ὠνόμασεν

ἐξελθεῖν. τὴν παράλιον τῆς θαλάσσης ὁδὸν διανύσας δι' ἡμερῶν πεντήκοντα καὶ ἑκατὸν τὴν οἰκουμένην κατάλαβεν.

40

(1) Περιϊὼν δὲ τὰς πόλεις, ὅπου μὲν προϋπήντουν αὐτὸν σὺν πᾶσι τοῖς ἐτησίοις φόροις καὶ λοιποῖς δώροις τοῦτον ἐξιλεούμενοι, τούτους παρήρχετο. τοῖς δὲ μὴ τοῦτο ποιοῦσιν ἐπερχόμενος ἐπόρθει. ἐπὰν δὲ πόλις ὀχυρὰ ἀντιπαρατάξασθαι αὐτῷ ἠβουλήθη, αὐτὸς δῆθεν ἢ πρέσβυς εἴτε πρόσφυξ χρηματιζόμενος, εἴτε πτωχὸν ἑαυτὸν ποιῶν εἰσῄει καὶ κατεσκόπει. καὶ ὅπου δ' ἂν διέγνω χαύνωσιν ἔχειν τὰ τείχη, ἐξερχόμενος ἐκεῖ τὸν πόλεμον συνεκρότει. ὡς οὖν πρὸ πολλοῦ τῇ τοιαύτῃ σκέψει ἐπόρθει τὰς πόλεις, καὶ δὴ Κανδάκη τις βασίλισσα τοῦτο ἀκηκόει, Ἀμάστριδι οἰκοῦσα τῇ πόλει, ἥτις πέμψασα ζωγράφον τὴν αὐτοῦ ἔλαβε ὁμοίωσιν κατὰ πάντα οἷος ἦν Ἀλέξανδρος. καὶ ἐν τῷ κοιτῶνι αὐτῆς ἔχουσα καθ' ἑκάστην εἰσῄει περισκοποῦσα αὐτὸν καὶ θαυμάζουσα τὴν τῆς εἰκόνος θέασιν.

(2) Ἀλέξανδρος δέ, ὡς προέφην, περιϊών, οἱ τούτου προφύ-

---

1 *τὴν παράλιον – διανύσας* Q: om. γ | *δι'* Q: *καὶ δι'* γ 2 *πεντήκοντα καὶ* Q: om. γ

ε 40 habet Q, pauca etiam γ III 19
6 *ἐπόρθει* bis in codice Q: aliquid excidisse videtur, fortasse *τὰς πόλεις*
12 *οἰκοῦσαν* Q | *Ἕλληνα ζωγράφον* Aβ 13 *ὁμοίωσιν* ε: *ὁμοίωμα* β 14 *ἐν τῷ κοιτῶνι* ε: *ἐν ἀποκρύφῳ τόπῳ* Aβ 15 *θέασιν* correxi: *θέσιν* Q 16–p. 150,6 *προφύλακες – παραλαβόντες αὐτὸν* etiam γ 16–p.149,1 *οἱ τούτου προφύλακες* Q: *οἱ προφύλακες τῆς φάλαγγος Ἀλεξάνδρου* γ

λακες Κανδαύλην τὸν υἱὸν Κανδάκης συνέλαβον φεύγοντα καὶ ἐρωτήσαντες· πόθεν καὶ τίς; καὶ ποῦ ἀπέρχῃ; αὐτὸς πάντα τὰ συμβησόμενα ἐξηγήσατο, ὡς ὅτι τὴν Ἀλεξάνδρου φεύγων ῥοπὴν ἅμα γυναικὶ καὶ στρατῷ πρὸς τὴν ἐμὴν ἐπειγόμην μητέρα ἐν Ἀμάστριδι. Εὐαγρίδης οὖν, ὁ †ἐμοὶ **συνὸν**† τύραννος, κατὰ τὴν ὁδὸν ἐπελθών μοι ἀφείλατο τήν τε γυναῖκα καὶ τὸν σὺν ἐμοὶ πλοῦτον, κρατυνθεὶς ὑπὲρ ἡμᾶς ἐν τῷ πολεμεῖν. ἐκείνῳ δὲ καὶ μόλις ἐκδρὰς εἰς τὰς ὑμῶν κατήντησα χεῖρας, ὡς πληρωθῆναι ἐν ἐμοὶ τὸ τῆς τύχης ῥητόν. μῦθος γὰρ τοιόσδε τοῖς δυστυχοῦσιν εἰσφέρεται· ποτέ τις λέοντα φεύγων καὶ τῆς σωτηρίας ἀπεγνωκὼς ὁρᾷ παρά τινος λίμνης ὄχθῃ δένδρον ἱστάμενον. ἐκεῖσε δὲ ἀνελθὼν σώζεσθαι διενοήθη. καταδραμὼν δὲ καὶ ἀναβάς, ὄφις ἐκ τῶν ἄνωθεν κατ' αὐτοῦ ὥρμησεν. ὁ δὲ

---

1 *συνέλαβον* corr.: *συνελάβοντο γ*: *-οντα* Q: *συλλαμβάνονται* etiam A **1–2** *καὶ ἐρωτήσαντες* Q: *ἐρωτήσαντο δὲ τοῦτον* vel *ἐρωτησάντων δὲ τούτων αὐτὸν γ* **3** *συμβησόμενα* Qγ: *συμβησάμενα* Parthe: *συμβεβηκότα* fortasse scrib. sed cf. p. 151,15 | *ἐξηγήσατο* Q: *αὐτοῖς διηγήσατο γ* **3–4** *ῥοπὴν* Q: *τροπὴν γ* cf. etiam p.154,5 **4** *ἅμα – στρατῷ* Q: om. *γ* | *στρατῷ* corr. e *στρατοῦ* Q **5** Εὐαγρίδης ε: nomen deest in recc. Aβ | *ἐμοὶ συνὸν* Q: *τῶν* Βεβρύκων *γ* sicut Aβ: ὁ Εὐαγρίδης .... τοῦ Σολοροῦ (alias τῆς Σολουρίας) ὁ βασιλεύς Mgr, etiam τὸ Σολοῦρω: *Solurski car* Slav: quid latet nescio **5–8** *κατὰ τὴν ὁδὸν – ἐκείνῳ δὲ* Q: om. *γ* **6** *γυναῖ* Q **8** *μόλις* Q: *μόλις τούτου γ* **9** *μῦθος*: Aesop. no. 32 ed. Hausrath **10–11** post *σωτηρίας* add. *αὐτοῦ γ*: om. Q **11** *τινος λίμνης* Q: *τινα λίμνην ἐν τῇ γ* **13** post *ὄφις* add. *τῷ μεγέθει ἀνείκαστος γ*: om. Q | *κατ' αὐτοῦ* Q: *ἐπ' αὐτῷ* R: *ἐπ' αὐτὸν* D: deest C

τὸ φοβερὸν τοῦ θηρὸς θεασάμενος ἑαυτὸν εἰς τὴν λίμνην ἀκόντισε. κροκόδειλος δὲ τῶν κάτωθεν ἀναδὺς καὶ ἁρπάσας αὐτὸν κατεθοινήσατο. τὰ τοιαῦτα δὲ καὶ ἐν ἐμοὶ συνέβη, ὥστε Εὐαγρί*δην φεύγων ἐπὰν γυναικὸς ὑστερήθην εἰς* Ἀλεξάνδρου *εἰσῆλθον χεῖρας.*

(3) Οἱ *δὲ τὰς προφυλακὰς ἔχοντες παραλαβόντες αὐτὸν ἤγαγον ἐν τῷ φοσσάτῳ,* Ἀλεξάνδρῳ *δὲ ταῦτα καταγγέλλουσι. ἀκούσας οὖν* Ἀλέξανδρος *καὶ* Ἀντίοχον *προσκαλεσάμενος τὴν ἰδίαν ἐνδιδύσκει διπλοΐδα καὶ ἄπασαν βασιλικὴν στολήν, καὶ αὐτὸς δὲ τὴν* Ἀντιόχου *ἀμφιασάμενος ἐσθῆτα εἶπε πρὸς αὐτόν·* Καθέσθητι *δὴ σὺ εἰς τύπον ἐμοῦ, ἐγὼ δὲ ἔσομαι* Ἀντίοχος *εἰσερχόμενος καὶ ἐξερχόμενος. ἐπὰν δὲ ἐνώπιόν σου* Κανδαύλης *εἰσαχθήσεται, πάντα τὰ συμβάντα αὐτῷ καθ' ἓν ἐξερώτησον καὶ δῆθεν ἔσο συμπονῶν αὐτῷ. ὡς δὲ πάντα σοι ἀναγγείλῃ,* λάλησον *πρὸς αὐτὸν τάδε· ἀγαθὴ δέ σε τύχη, ὦ* Κανδαύλη, *ἤγαγε πρὸς μέ, ὥστε καὶ τὴν γυναῖκά σου λάβῃς παρ' ἐμοῦ, καὶ φίλος μου ἔσῃ, οὐ γὰρ μετρίως ἔπαθον ἐπὶ σὲ τὴν ψυχήν μου. ταῦτα οὖν πρὸς αὐτὸν φθεγξάμενος,* Ἀντίοχον, *εἰπέ, καλέσατέ μοι. ἐλθόντος δ' ἐμοῦ τάδε μοι λάλησον·* Ἀντίοχε, *λαβὼν τὸν*

---

1 *τὸ φοβερὸν τοῦ θηρὸς* Q: om. *γ* **1–2** *ἀκόντισε* Q: *ἀπηκόντισεν γ* **2** *ἀναδὺς γ*: *ἀναδύων* Q **3** *δὲ καὶ* Q: *οὖν γ* **3–5** *ὥστε — χεῖρας* Q: om. *γ* **3–4** *Εὐαγρίδην* scripsi: *Ἀλέξανδρον* Q **6–7** *ἤγαγον*: narrationem recensionis *β* nunc sequitur *γ* **7** *καταγγέλωσι* Q **8** *Ἀντίοχον προσκαλεσάμενος* etiam *γ*, fuit in recensione vetusta Alexandri simulator Ptolemaeus atque Alexander celatus habitu Antigoni **9** *διπλοΐδα ε*: *χλανίδα* A: *χλαμύδα β* **10** *αὐτὸς — πρὸς αὐτὸν* etiam *γ* | *τὴν* Q: *τὴν τοῦ γ* **15** *ἀγαθὴ* corr. e *ἀγαθὸν* Q **17** *οὐ γὰρ μετρίως ἔπαθεν ὑπὲρ αὐτοῦ ἡ ψυχή μου* etiam *γ*

ὑπὸ σὲ ἅπαντα στρατὸν καὶ Κανδαύλην μετὰ σοῦ, ἀπελθὼν λάλησον τῷ Εὐαγρίδῃ τὴν γυναῖκα δοῦναι Κανδαύλῃ καὶ ἅπαντα τὰ ὑπάρχοντα αὐτοῦ καὶ τοὺς ἐτησίους φόρους καὶ σώζῃ. εἰ δὲ οὐ βούλοιτο, σὺν τῇ πόλει ἐν ᾗ κατοικεῖ ἄγαγε πρός μέ. ὅτε δὲ ταῦτα τελέσας ἀνθυποστρέψω, πρὸς Κανδάκην με πρέσβυν σὺν Κανδαύλῃ ἐξαπόστειλον.

(4) Ἐν τούτοις Κανδαύλης πρὸς Ἀντίοχον εἰσάγεται. φόβος δὲ τοῦτον κατέσχε καὶ τρόμος τὴν ὑπερβάλλουσαν δόξαν τῆς τῶν Μακεδόνων ἀρχῆς θεασάμενον. παραχρῆμα δὲ πεσὼν τὸ δοκεῖν Ἀλεξάνδρῳ προσεκύνησεν. Ἀντίοχος δὲ τοῦτον προσεγγίσαι καλέσας ἤρξατο ἐπιεικῶς αὐτὸν ἐρωτᾶν καθὼς ἐδιδάχθη. Κανδαύλης δὲ ἐν τῷ λέγειν θεασάμενος συμπαθοῦντα αὐτὸν ἐπιπονωτέρως τὰς ἑαυτοῦ διηγήσατο συμφορὰς καί· Ὦ, εἶπεν, δέσποτα κοσμοκράτορ, πάντα μοι τὰ παρὰ τῆς τύχης συμβησόμενα ἀντ' οὐδενὸς ἐλογισάμην, ἐντυχὼν γὰρ τῷ σῷ κράτει πάντα μου τῆς ψυχῆς ἀφίσταται τὰ λυποῦντα. — Ἀντίοχος δὲ προσκαλεσάμενος Ἀλέξανδρον εἶπεν· Λαβὼν τόνδε τὸν νεανίαν καὶ τὸν ὑπὸ τὴν σὴν χεῖρα ἅπαντα στρατὸν ἄπιε πρὸς Εὐαγρίδην. καὶ εἰ μὲν δουλικῶς σοι διατεθῇ, λαβὼν τὴν τούτου γυναῖκα σὺν παντὶ πλούτῳ καὶ ὑπὲρ τῶν ἐμοὶ ἐτησίως διδομένων φόρων τάλαντα πεντακόσια τάχιον πρὸς ἡμᾶς ἀντί-

---

1 ἅπαντα corr. e ἅπαν Q 7 Κανδαύλης corr. e Κανδαύλην Q | φόβον Q 11 ἐπιεικῶς scripsi: ἐεικῶς i.e. ἐοικῶς Q: λεπτὰ Mgr 14–16 δέσποτα — λυποῦντα etiam γ 14 παρὰ γ: περὶ Q 15–16 σῷ κράτει Q: κράτει σου γ 16 ἀφίσταται τὰ λυποῦντα Q: λέληθε τὰ λυπούμενα γ

στρεφε. εἰ δὲ καὶ τοῦτο μὴ θελήσειεν, σὺν αὐτῷ τῷ ὀχυρώματι αὐτοῦ εἰ δυνατὸν ἄγαγε αὐτὸν πρὸς ἡμᾶς.

41

(1) *Ταῦτα ἀκούσας ἐξῆλθε παραλαβὼν τὸν Κανδαύλην καὶ χιλιάδας ἑκατὸν ἀπὸ τῶν Περσῶν καὶ Ἰνδῶν καὶ Μακεδόνων καὶ ὥρμησεν κατὰ τοῦ Εὐαγρίδου. κατὰ δὲ τὴν ὁδὸν προσκαλεσάμενος τὸν Κανδαύλην διελέγετο ὡς· Ἐὰν παρὰ Εὐαγρίδου τὴν σεαυτοῦ γυναῖκαν ἀναλαβόμενος παράσχω σοι, τί μοι ὑπὲρ τῆς χάριτος ἔσται δῶρον, ὦ Κανδαύλη; – Κανδαύλης ἔφη· Οὐκ ἔστιν μοὶ ἐν λόγῳ εἰπεῖν τῆς χάριτος τὴν ἀντίδοσιν, εἰ καὶ ὅλως ἀγωνίσῃ τὰ περὶ ἐμοῦ ὁλοψύχως. αἰτήσομαι δέ σε καὶ παρὰ τοῦ βασιλέως σὺν ἐμοὶ πρὸς τὴν ἐμὴν ἐλθεῖν μητέρα. ἐκείνη δέ σοι τὴν ἀνταμοιβὴν τῶν περὶ ἐμὲ πεπονημένων ἀμείψεται.*

ε 41 = γ III 20
3 post ἀκούσας add. Ἀντίοχος γ: om. Q | τὸν Κανδαύλην γ: καὶ Κανδαύλης Q 4 τῶν Περσῶν καὶ Q: τε Περσῶν γ 5 καὶ ὥρ. κατὰ τοῦ Εὐαγρίδου (ἐπὶ Εὐαγρίδην R) γ: ὥρ. Εὐαγρίδῃ Q 6 ἐὰν Q: ἄν γ | παρὰ Q: παρὰ τοῦ γ | Εὐαγρίδου: vel Εὐαγρίδου vel -δους codices QRD; Εὐαγρίδου semper C 7 σεαυτοῦ γ: ἑαυτοῦ Q | γυναῖκαν Q: -κα γ 8 ἔσται δ. ὦ Κ. Q: ὦ Κ. ἔσται δ. γ | Κανδαύλης Q: καὶ ὁ Κ. γ 10 δέ σε Q: σε γ 11 πρὸς – μητέρα Q: πρὸς τὴν ἐμὴν μητέρα ἀπελεύσῃ D: εἰς τὴν μητέρα μου ἀπελευσόμεθα C: τῇ ἐμῇ ἀπελθῆναι μητρί R

(2) Φθασάντων οὖν τοὺς Εὐαγρίδου ὅρους, τὸν σὺν αὐτῷ λαὸν εἰς τρεῖς ἀρχὰς διεμέρισεν. καὶ ταῖς μὲν δυσὶν ἐνεδρεύειν προσέταξεν, τὴν δὲ μίαν ἀναλαβόμενος ὥρμησε πρὸς Εὐαγρίδην. συλλαβόμενος δέ τινας τῶν ἐγχωρίων πρέσβεις ἀπέστειλε πρὸς αὐτὸν εἰπών· Εἴπατε τῷ Εὐαγρίδῃ ὡς ὁ κοσμοκράτωρ Ἀλέξανδρος τὸν αὐτοῦ παῖδα πρὸς σὲ Ἀντίοχον ἀπέστειλε, δοῦναι Κανδαύλῃ τὴν γυναῖκα καὶ ὃν σὺν αὐτῇ ᾐχμαλώτισας πλοῦτον καὶ τοὺς ἐτησίους φόρους, καὶ σῴζῃ. εἰ δὲ μὴ τοῦτο θελήσειας, τὰ πρὸς πόλεμον εὐτρεπίσθητι. ἥκει γάρ σοι πολεμήσων.

(3) Ταῦτα ἀκούσας Εὐαγρίδης κατασκόπους ἀποστέλλει Ἀντίοχον κατασκοπῆσαι. οἱ δὲ τοῦτο ποιήσαντες ἀντιστρέφονται καὶ ὀλιγοστὸν τὸ Ἀντιόχου στράτευμα ἔφησαν ἔσεσθαι, καὶ τῇ ἡμετέρᾳ μὴ ἐξαρκεῖν δυνάμει. ταῦτα δὲ εἶπον μὴ θεασάμενοι τὰ ἔνεδρα. Εὐαγρίδης οὖν ταῦτα ἀκούσας εὐθὺς πρὸς πόλεμον καθοπλίζεται. καὶ δὴ καταφθάνει τὴν Ἀλεξάνδρου παράταξιν

---

1 φθασάντων Q: φθάσαντες γ | τοὺς ... ὅρους Q: τοῖς ... ὁρίοις γ 1–2 τὸν σὺν αὐτὸν (αὐτῷ corr.) λαὸν εἰς τρεῖς ἀρχὰς Q: εἰς τρεῖς ἀρχὰς τὸ στρατόπεδον γ 4 ἐγχωρίων γ: εὐχορίων Q | ἀπέστειλε Q: ἐξαπέστειλε γ 6 Ἀντίοχον ante πρὸς σὲ pon. D C: post ἐξαπ. R 7 Κανδαύλῃ τὴν γυν. Q: τὴν γυν. Κανδαύλην (-λῃ D, -λου C) γ | ὃν σὺν αὐτῇ Q: ὅσον αὐτῷ γ | ᾐχμαλώτισας Q: -τευσας γ 8 καὶ Q: ἀλλὰ δὴ καὶ γ | σώζει Q: σώζου γ 8–9 θελήσειας γ: -σεις Q 9 ἥκει – πολεμήσων om. γ 10 ὁ Εὐαγρίδης γ 10–12 κατασκόπους ... ἀντιστρέφονται Q: κατάσκοπον ἀπέστειλε ... ὁ δὲ κατάσκοπος τοῦτο ποιήσας ἀντιστρέφεται γ 12 τὸ QC: τὸ τοῦ D: τὸ παρὰ R | ἔφησαν Q: -σεν γ 13 ἐξαρκεῖν γ: -κεῖ Q 13–14 εἶπον – ἔνεδρα Q: εἶπεν μὴ θεασάμενος τὸ ἔνεδρον γ 14 εὐθὺς Q: τὰ γ 15 καθοπλίζεται Q: εὐτρεπίζεται γ

καὶ ὀλιγοστὴν ἰδὼν κατεφρόνησε. καὶ ἀκρατῶς κατὰ τῆς φάλαγγος ὥρμησε. τοὺς δὲ ἐν τοῖς ἐνέδροις μηνύοντες, τὰς σάλπιγγας εὐθέως ἤχησαν. καὶ περικυκλοῖ αὐτοὺς ἀνείκαστον πλῆθος ἑκατέροις τοῖς μέρεσι καὶ πάντες συνελήφθησαν. καὶ Εὐαγρίδης ἑαυτὸν τῷ ξίφει ἀνεῖλε τὴν Ἀλεξάνδρου ῥοπὴν δεδοικώς. τῆς δὲ νίκης γενομένης ἐν τῇ Εὐαγρίδου παραγενόμενος πόλει πανοικὶ αὐτὴν ἐξεδάφισε, τὴν δὲ Κανδαύλου γυναῖκα καὶ τὸν σύμπαντα ἄρας πλοῦτον ἤγαγεν εἰς τὸ στρατόπεδον.

(4) Κατὰ τὴν ὁδὸν δὲ περιεπλέκετο Κανδαύλης ὡς Ἀντίοχον τὸν Ἀλέξανδρον. καταφιλῶν καὶ ἐπαινῶν ἔλεγεν· Οὐκ ἄρα τοιοῦτος ἔστιν ἕτερος ἐν ἀνθρώποις ἐν τῇ ὑπ᾽ οὐρανόν, καὶ ὄντως θαυμαστοῦ βασιλέως καὶ ὁ στρατιώτης ἀήττητος. — ἐπὶ τούτοις Ἀλέξανδρος τῷ Κανδαύλῃ ἔφη ἔσχατος πάντων τῶν δούλων Ἀλεξάνδρου εἶναι· Πρῶτος γὰρ παρ᾽ ἡμῶν Φίλιππος, μετὰ δὲ τοῦτον Σέλευκος, ἐκ δὲ τούτων Φίλων, ἔσχατος δὲ πάντων Ἀντίοχος, ὅς ἐγώ εἰμι. — καί φησι Κανδαύλης· Κἄν

2–3 *τοὺς ... ἤχησαν* Q: *γ* corruptum; sanare tempt. scribae *οἱ δὲ ἐν ταῖς ἐνέδραις* (*ὡς δὲ ἐν τοῖς ἐνέδροις* C) *εὐθέως ἐσάλπισαν* DC: *τῶν δὲ ἐν τοῖς ἐνέδροις μηνυόντων σαλπίγγων εὐθέως ἤχησε* R: *Ἀλέξανδρος τὸ κρυμμένον τὸ φουσάτον ἐξήβαλεν ἀπὸ τὸν λόγκον καὶ ἐτζάκισεν τὸν Εὐαγρίδη* Mgr **2** *τοὺς* Q: *οἱ* Parthe **4** *τοῖς* Q: om. *γ* **7** *πανοικῆ* Q: *παντελῶς γ* | *αὐτὴν ἐξεδάφισε* Q: *ἐξηδάφισεν ταύτην γ* **7–8** *τὴν – στρατόπεδον* Q: *τῷ δὲ Κανδαύλῃ παραδοὺς τὴν ἑαυτοῦ γυναῖκα καὶ τὸν σὺν αὐτῷ πάντα ἄρας πλοῦτον ἐπὶ τὸ στρατόπεδον ὑπέστρεψε γ* **10** *τὸν* om. Q | *καὶ καταφ. γ* **11** *ἕτερος ἐν ἀνθ.* Q: *ἄνθρωπος γ* **12** *στρατιώτης ἀήττητος* Q: *στρατηγέτης πανθαύμαστος γ* **13** *ἔφη* Q: *ἀπεκρίνατο ὡς γ* **15** Byzanta post Seleucum interpolavit C | post *Φίλων* add. *ὁ φίλος τοῦ βασιλέως* vel *τοῦ Ἀλεξάνδρου γ* **16** *ἐγώ εἰμι* Q: inv. in *γ* | *ὁ Κανδαύλης γ*

ἔσχατος ᾖς, ὑπὲρ πάντας ἔχεις τὸ φρόνημα. – ὁ δέ· Μὴ γένοιτο, ἔφη, ἀλλὰ πᾶσιν ἡμῖν κατὰ τὴν φρένα καὶ ἀνδρείαν, καὶ ἡ τιμὴ δέδοται παρὰ Ἀλεξάνδρου. – καὶ Ὦ, ἔφη Κανδαύλης, εἰ ὑπὲρ σὲ ἕνα καὶ ἕτερον ἔχει Ἀλέξανδρος, δικαίως τῆς οἰκουμένης κατεκυρίευσε. παρακαλῶ δέ σε, εἰ ὅλως καταξιοῖς με, τῷ βασιλεῖ αἰτησαμένου μου, μετ' ἐμοῦ πρὸς τὴν μητέρα μου ἐλθεῖν, ἵνα καὶ τοὺς φόρους αὐτῷ κομίσῃς καὶ τὰς τῶν πόνων ἀμοιβάς, ἃς ἡ κοινὴ ἡμῶν μήτηρ παρέξει σοι. ὑπὲρ ἀδελφὸν γὰρ ἐθαυμαστώθης μοι. – Εἰ καὶ ὅλως ἀξιοῖς, ὁ δέ φησι πρὸς τὸν Κανδαύλην, κἀγὼ αἰτήσομαι τοῦτο τῷ βασιλεῖ ὅπως σὺν σοὶ ἀποστείλῃ με.

(5) Καὶ δὴ τὸ στρατόπεδον φθάσαντες, ἐδόθη τῷ Κανδαύλῃ τόπος σκηνῆς καταλῦσαι σὺν γυναικὶ καὶ ὑπηρέταις. τῇ ἐπιούσῃ δὲ προσκαλεσάμενος ὁ βασιλεὺς αὐτόν φησιν· Ἴδε, Κανδαύλη, ἀπέλαβες καὶ τὴν γυναῖκά σου παρ' ἐμοῦ· τί οὖν ἐστι τὸ δοκοῦν σοι; – Κανδαύλης ὑπεραπολογούμενος ἔφη· Ἐμοὶ τὸ δοκοῦν οὐκ ἔστιν, πάντα δέδοκται τῷ σῷ κράτει. – ὁ δὲ πρὸς αὐτόν· Ἄπιε πρὸς τὴν μητέρα σου καὶ τὰ ἐξ ἡμῶν αὐτῇ προσαγόρευ-

---

2 πᾶσιν ἡμῖν Q: πάντων εἰμὶ ἔσχατος γ 3 παρὰ Q: ὑπὸ γ | εἰ ὑπὲρ D: εἴπερ QR: εἰ C 4 ἕνα καὶ ἕτ. Q: ἑτέρους γ 5 κατεκυρίευσε Q: ἐβασίλευσε καὶ κατ. γ 6 αἰτησαμένου Q: (παρ)ισταμένου καὶ (ἐξ)αιτησαμένου γ | post ἐλθεῖν add. σε γ (R) 8 ἃς om. Q | κοινὴ ἡμῶν Q: inv. in γ | παρέξει σοι Q: ἀμείψεται γ 9–10 ὁ δὲ – Κανδαύλην γ: om. Q 11 με corr. D: μοι Q γ (R) 13 γυναικὶ καὶ ὑπηρέταις Q: τῇ γυναικὶ αὐτοῦ καὶ ὑπηρεσίᾳ παντοίᾳ γ 13–14 ἐπιούσῃ δὲ Q: inv. in γ 14 ὁ βασιλεὺς αὐτὸν Q: inv. in γ | φησι Q: ἔφη γ | ἴδε Q: ἰδοὺ γ 16 ὁ δὲ Κανδαύλης γ | ὑπεραπολογούμενος om. γ 17 δέδοκται scripsi: δέδεκται Q: δὲ δεκτὰ γ 18 ἄπιε Q: ἄπιθι γ

σον. – καὶ προσκαλεσάμενος Κανδαύλης Φίλωνα ἔφη· Λάλησον τῷ βασιλεῖ Ἀντίοχον σὺν ἐμοὶ ἀποστεῖλαι, ἵνα καὶ τοὺς ἐτησίους φόρους καὶ τὰς ὑπὲρ ἐμοῦ ἀποκομίσῃ ἀμοιβάς, καὶ ἐσόμεθα αὐτῷ εἰς δουλείαν. – ἐπὶ τούτῳ κατένευσε Φίλων εἰπεῖν τῷ βασιλεῖ, καὶ διώρισται Ἀλέξανδρος συνεξελθεῖν μετ' αὐτοῦ.

42

(1) Κατὰ τὴν ὁδὸν δὲ γενομένων ἐγγίσας τῷ Κανδαύλῃ λόγοις αὐτὸν ἠκρίβωσε πῶς ἂν ἔχοι πρὸς τὴν ἐπίγνωσιν αὐτοῦ. ὡς δὲ παντελῶς ἀπερίεργον τοῦτον διέγνω, οὐκέτι αὐτῷ λόγους τοιούσδε, ἀλλ' ἢ μόνον ἀγαπᾶν αὐτὸν ἔλεγεν καὶ ἀδελφικῶς χρᾶσθαι ὡς καὶ ὑπὲρ αὐτοῦ ἀγωνισάμενον. Κανδαύλης δὲ αὐτὸν μεθ' ὅρκων ἐβεβαίου ὑπὲρ ἀδελφοῦ καὶ μητρὸς τὴν αὐτοῦ στοργὴν ἔχειν ἐν τῇ ψυχῇ καὶ μέχρι θανάτου.

---

1 τὸν Φίλωνα γ | post ἔφη add. δέομαί σου γ: om. Q 3 ὑπὲρ Q: ὑπ' γ 4 δουλείαν Q: δούλους γ | ὁ Φίλων γ 5 διόρισται Q: δὴ ὡρίσθη i. e. διωρίσθη γ 5–6 συνεξελθεῖν μετ' αὐτοῦ Q: εἰσελθεῖν σὺν αὐτῷ γ

ε 42: Q, a voce καὶ εἴπερ (42,2) accedit K; 42,1 et 4 praebet, de 42,3 plura omisit γ (III 21)

7 γενομένων γ: -νος Q 8 λόγοις αὐτὸν ἠκρίβωσε Q: λόγους αὐτῷ ἠκρίβαζε γ 9 post τοῦτον add. ὄντα γ 9–10 ante λόγους add. εἰσέφερε ut vid. γ 11 καὶ om. γ | ἀγωνισάμενον γ: -νος Q 12 δὲ om. γ | ὑπὲρ Q: ὡς ὑπὲρ γ 13 αὐτοῦ Q: ἑαυτοῦ γ | στοργὴν ἔχειν Q: inv. in γ | τῇ om. γ

(2) Πλησίον δὲ γενόμενοι τὰ ἔνθεα κατέλαβον σπήλαια. καὶ Κανδαύλης φησίν· Ὧδε, Ἀντίοχε, θεῶν μοναί. καὶ εἴπερ οὐ δειλιᾷς, μικρὸν τῆς ὁδοῦ ⌊διελθὼν τὰ συμβησό⌋μενά σοι μαθήσῃ. τοῦτο δὲ οὐ τοῖς πᾶσι δίδοται, ἀλλ' ἢ τούτοις μόνοις, οἷς ἡ τύχη εὐάρμοστος. πολλοὶ δὲ εἰσελθόντες σεληνιαζόμενοι ἐξέρχονται ἢ καὶ παράφρονες. παρ' ἡμῖν τοῦτο παραιτεῖται. – ὁ δέ φησιν πρὸς Κανδαύλην· Καὶ τοσαύτη σου πρὸς Ἀντίοχον ἀγάπη ὥστε συνῄνεσάς μοι εἰσελθόντα σεληνιάζεσθαι καὶ παραφρονεῖν; – ἐν δὲ τούτοις περιπλακεὶς αὐτὸν Κανδαύλης κατεφίλησε εἰπών· Καὶ μή μοι γένοιτο, ἐν ἐμοὶ τὰ σά, ὦ φίλε, δυστυχήματα. τεθαρρηκὼς γὰρ τῇ ἐσομένῃ σοι παρὰ τῆς τύχης χάριτι τόνδε σοι ἔφην τὸν λόγον, πέπεισμαι εἰσελθόντα σε μηδὲν ἐναντίον παθεῖν. φοβερὸς ὡς ἐμοὶ δοκεῖ καὶ παρὰ θεοῖς Ἀλέξανδρος.

(3) Καὶ δὴ ἐκ τῆς ὁδοῦ μικρὸν διάστημα Κανδαύλην ἔχεσθαι

---

1 ἔνθεα γ: ἔνθα Q 2 post μοναί add. εἰσι γ: om. Q: εἰς ἐτοῦτο τὸ σπήλαιον ... ζοῦν τῶν Ἑλλήνων οἱ θεοί Mgr: abhinc etiam K | εἴπερ Kγ: εἶπεν Q 3 διελθὼν Kγ: ἐξ .... Q, qui legi hic non potest e rec. β aliqua inseruit γ (p.366,21–368,9 Parthe) 4 δίδοται Q: δίδωσιν K: om. γ | ἀλλ' ἢ KR: ἀλλὰ QDC 6–8 παρ' ἡμῖν – σεληνιάζεσθαι om. K 6 παρ' ἡμῖν τοῦτο Q: καὶ διὰ τοῦτο παρ' ἡμῖν γ 8 ἡ ἀγάπη γ | συνῄναισας Q: συνένευσες γ 9 τούτοις Q: τούτῳ Kγ 10 εἰπών Kγ: om. Q | φίλε Q: φίλτατε Kγ 11–12 τῇ – λόγον QK: σοι περὶ τούτου ἐφθεγξάμην γ 11 ἐσομένῃ Q: ἔσομαι K | παρὰ Q: τὰ K 12 χάριτι correxi: χάριτος QK | σοι K: σε Q | πέπεισμαι K: πέπεισμαι δὲ γ: πεπεισμένος Q 15 post μικρὸν ad rec. β redit γ | Κανδαύλην ἔχ. K: Κανδαύλης ἔχ. ἔφη Q

τῆς ὁδοιπορίας, ἐπιστασίαι δὲ γίνονται πρὸς αὐτὸν παντοίων εἰδῶν θηρίων τε καὶ ⌊ἀνθρώπων. καὶ τὰ μὲν θηρία⌋ ἀνθρωποειδῆ καὶ λόγος ἀνθρώπινος ἐν αὐτοῖς. ⌊ὁμοίως⌋ δὲ καὶ ἄνθρωποι ἦσαν, οἱ πάντες δε⌊δεμένοι⌋ ἁλύσεσιν καὶ πέδαις σιδηραῖς. ⌊ἔτι⌋ μὲν πρὸς Ἀλέξανδρον ἔλεγον· Καὶ σὺ μετ' οὐ πολὺ μεθ' ἡμῶν ἔλθῃ συνδιαιτώμενος. — ἐπέστη δὲ καὶ αὐτὸς ὁ ἄνθρωπος ὅστις εἶπεν αὐτῷ ἅπαντα τὰ συμβησόμενα, καὶ ἐν τῇ ὁδῷ ἐν ᾗ ἀπέρχεται τοῦτον εἶπεν δυστυχήσαντα κατὰ μικρὸν δὲ πάλιν εὐτυχῆσαι· Διὰ γυναικὸς δέ σοι τὰ ἀμφότερα ⌊συμ⌋βήσεται. θαρσηρῶς δὲ αὐτῷ τὴν ὁδὸν διανύειν παρεκελεύσατο. καί φησιν πρὸς αὐτὸν Ἀλέξανδρος· Φράσον δή μοι σύ, ποῦ σε καὶ πάλιν ἑώρακα — ἐμφέρεια γάρ σου τοῖς ἐμοῖς ἀνιστόρηται ὀφθαλμοῖς — καὶ τί πεπραχὼς τοῖσδε τοῖς δεσμοῖς περίκεισαι, καὶ παρὰ τίνος ἐνταῦθα παρεπέμφθης; — ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἐπειδήπερ, Ἀλέξανδρε, παρὰ τῆς προνοίας ἐστὶ δοτὸν ἵνα πάντα τὰ ἀπόκρυφα φανερά σοι γενήσονται — οὐκ ἂν γὰρ τοῖς ἐνταῦθα καταλαβεῖν τεθάρρηκας, οὐδὲ γὰρ ἀνθρωπίνη φύσις ποτὲ τοῖς ἐνταῦθα εἰσιέναι τετόλμηκεν — ἄκουσον δὴ παρ' ἐμοῦ

---

2 Q abhinc vitiatus 3 ὁ λόγος K | αὐτοῖς Q: -τῷ K 4 δεμένοι K: δὲ δεδεμένοι Q 4–5 σιδηραῖς K: -οῖς Q 6 μεθ' ἡμῶν Q: om. K | ἔλθει Q: -εις K | αὐτὸς ὁ Q: om. K 7 αὐτῷ K: αὐτῷ καὶ Q 8 τοῦτον Q: τὰ τοῦτον K 9 δὲ K: om. Q | εὐτυχῆσαι Q: εὐτύχησες τὰ K 10 αὐτῷ Q: om. K | διανύειν Q: διανύον K 11 Ἀλέξανδρος Q: Ἀλέξανδρε K 12 σου Q: σοι K 13 τοῖσδε — δεσμοῖς K: τάδε τὰ δεσμὰ Q 14 παρεπέμφθης K: -θη Q 16 post γενήσονται add. καὶ γὰρ εἰ μὴ ἦν σοι δοτὸν ἵνα πάντα τὰ ἀπόκρυφα φανερά σοι γενήσονται bis K | τοῖς K: om. Q 17 κατ. τεθ. Q: τεθ. καταλαβέσθαι K | οὐδὲ Q: οὔπω K

πάντα. εἶπάς μού που τὴν θεωρίαν ἱστόρησας, καὶ ἀληθῶς μὲ ἱστόρησας, εἰ καὶ ὅλως τὴν ἀοίκητον διῆλθες γαῖαν. ἐγὼ Σεσογχός εἰμι κοσμοκράτωρ, ὅς τῇ παρ' ἐμοῦ δυνάμει ἐπαρθεὶς θεὸν ἐμαυτὸν ὠνόμασα. καὶ τῷ οὐρανῷ ἐπιβῆναι σπουδάσας τὴν τούτου ἐζήτουν ἀκρώρειαν. ἐλθὼν δὲ εἰς χώραν ἀγρίων ἀνθρώπων, ἐπανέστησαν ἐπ' ἐμὲ πλήθη πολλὰ καὶ ὑπερνικήσαντα τρέπουσι καὶ κατεδίωξαν ὀπίσω μου μέχρις ὅπου φέγγος ἦν ἡμέρας καὶ πολὺ πλῆθος τοῦ σὺν ἐμοὶ ἀνεῖλον στρατοῦ. μόλις δὲ τούτους διεκφυγὼν τὴν λίμνην ἥν ἑώρακας κατέλαβον, καὶ τῇ ἀθυμίᾳ συσχεθεὶς θανασίμῳ περιέπεσα νόσῳ. καὶ τοῦ ζῆν ἄκων στερηθεὶς ἐνταῦθα παρεπέμφθην δέσμιος τοῖς ἐρήμοις πλανᾶσθαι τόποις. ὧδέ εἰσι πάντες οἱ θεοὺς ἑαυτοὺς ὀνομάζοντες. οἱ γὰρ ἐν τῷ κόσμῳ ἔτι ζῶντες θηριώδη τὴν γνώμην εἶχον, ἐν αὐτῇ δὲ τῇ θεωρίᾳ τοῖς ὧδε δέσμιοι παρεπέμφθησαν, ὅσοι δὲ ἀνθρωπίνως ἦσαν διακείμενοι, τὴν αὐτῶν ἐνταῦθα παραφυλάττουσι θεωρίαν. καὶ ἐνταῦθα πάντες πλανώμεθα

---

1 εἶπας K: εἴπῃς Q | τὴν Q: τε K | ἱστόρησας Q: ἱστορῆσαι K | ἀληθῶς με Q: ἀληθεῖ μοι K 2 εἰ K: om. Q | διῆλθες γαῖαν Q: περιῆλθες γενέαν K 2–3 Σεσογχός εἰμι QK: εἰμι Ὦχος βασιλεὺς ὁ γ, qui denuo redit ad rec. ε: Ὦχος ut vid. etiam β: Σονσόχος ὁ βασιλεὺς τῆς Ἰνδιας Mgr 3 ἐμοῦ QK: ἐμοὶ γ 4 ἐμαυτὸν QDC: ἑαυτὸν KR | τῷ Kγ: τῷ ἐν Q 7 μέχρις ὅπου Kγ: μέχρι Q 8 ἦν QK: οὐκ ἦν γ 9 ἥν Qγ: ἐν ᾧ K 10 περιέπεσα Kγ: -σον Q 11 στερηθεὶς Q: ἐστερήθην Kγ, qui add. δὲ post ἐνταῦθα | παρεπέμφθην Kγ: -θη Q 13–16 οἱ γὰρ ... πλανώμεθα QK: om. γ 13 οἱ γὰρ ... ζῶντες K: om. Q haplographiae causa 14 δέσμιοι Q: δεσμίοις K 16 θεωρίαν Q: -α K | ἐνταῦθα Q: ἐντεῦθεν K, fort. melius

τὴν ἡτοιμασμένην τοῖς ἀντιθέοις ὑποίσεσθαι δίκην οἱ καὶ ὅλως θεοὺς ἑαυτοὺς κατετολμήσαμεν εἰπεῖν· ἄπειρον γὰρ τὸ θεῖον καὶ ἀκατάληπτον. ἤκουσας λοιπόν, Ἀλέξανδρε, τὰ καθ' ἡμᾶς, σπεῦδε οὖν τὸν μεθ' ἡμῶν διεκφυγεῖν κλῆρον, ἐπεὶ καὶ ἡμεῖς πάντες ἄνθρωποί ἐσμεν ὡς καὶ σύ, ἀθέμιτα ἐν τῷ κόσμῳ ἐργασάμενοι οὐκ ἠρκέσθημεν ἀλλὰ καὶ θεοὺς ἑαυτοὺς ὀνομάζοντες, μήποτε τοιαῦτα ἔσεσθαι ἡμῖν ἐπιγνόντες.

(4) Ταῦτα *ἀκούσας* Ἀλέξανδρος *τῶν ἐκεῖσε διῆλθε καὶ τῇ ὁδῷ εἰσβὰς ᾤχετο. καὶ καταφθάνει* Κανδαύλην *ὀδυρόμενον καὶ* Ἀντίοχον *ἐν τοῖς ὀδυρμοῖς ἐπικαλούμενον. ἐδόκει γὰρ ὡς βραδύναντα ἐκεῖσε κατακρατηθῆναι καὶ μηκέτι ἐξιέναι. ὡς δὲ εἶδεν αὐτὸν ἐρχόμενον, καταδραμὼν τῷ τραχήλῳ αὐτοῦ περιεπλέκετο καὶ καταφιλῶν ἔλεγε· νῦν ἐπίσταμαι ὅτι καὶ θεῶν δῆμος ἐδεδίει* Ἀλέξανδρον, *ὅτι ἀσινῆ αὐτοῦ διετήρησεν τὸν οἰκέτην.*

---

1 post *ἡτοιμ.* add. *ἀπεκδεχόμεθα* K, *ἀπεκδεχόμενοι* γ | *τοῖς ἀντιθέοις* scripsi: *τῆς ἀντιθέου* QK: *τοῦ θεοῦ* γ | *ὑποίσεσθαι* Q: *–σασθαι* K: om. γ **1–3** *οἱ καὶ .. ἀκατάληπτον* QK: om. γ **2** *ἑαυτοὺς* K: om. Q **3** *λοιπὸν* Ἀλέξανδρε Q: inv. in K **4** *οὖν* om. Kγ **4–7** *ἐπεὶ καὶ – ἐπιγνόντες* om. γ **5** *πάντες* K: om. Q | *σὺ* Q: *σὺ καὶ* K **6** *ὀνομάζοντες* K: *ὀνομάσωμεν* Q **7** *μήποτε* K: *μήπω τὰ* Q **8** sequentia denuo in γ III 21 p.372 Parthe **8–9** *καὶ – ᾤχετο* Kγ: om. Q **9–11** *καὶ Ἀντίοχον – ἐξιέναι* Kγ: *περὶ Ἀντιόχου ὡς μὴ παρὰ τῶν ἐκεῖσε κρατηθείη* Q **12** *ἐρχόμενον* Kγ: om Q **13** *τῷ τραχ. αὐτοῦ περ. καὶ* Kγ: *ἐπ' αὐτὸν* Q **14** *ἐδεδίει* Q: *ἐδέδη* K: (*ἐ*)*δεδοίκασιν* γ **14–15** *ὅτι – οἰκέτην* om. Q | *ὅτι* γ: *ᾧ* K | *αὐτοῦ – οἰκέτην* K: *τὸν οἰκ. αὐτοῦ διετήρησαν* γ

43

(1) Μεταξὺ δὲ τούτων τὴν ὁδὸν διανύσαντες τὴν Ἀμάστριδα καταλαμβάνουσι πόλιν, καὶ ἀκουστὸν ἐγένετο τῇ βασιλίσσῃ Κανδάκῃ τὸν υἱὸν αὐτῆς ἥκειν. ὡς δὲ ἤκουσε τῇ πολλῇ συσχεθεῖσα χαρᾷ εὐθέως ἐξανέστη τοῦ θρόνου καὶ πρὸς ὑπάντησιν ἐξῆλθε τοῦ υἱοῦ. ἐχάρη δὲ τὴν ἀπροσδόκητον αὐτοῦ θεασαμένη ἐπάνοδον, ἠκηκόει γὰρ τὰ αὐτῷ συμβάντα παρὰ Εὐαγρίδῃ καὶ οὐκέτι αὐτὸν ζῆν ἐνόμιζεν. ἤρξατο δὲ τοῦτον ἐρωτᾶν πῶς ἄρα διασέσωσται. ὁ δὲ πάντα αὐτῇ ἀναγγέλλει ὑποδείξας καὶ Ἀλέξανδρον· ὡς δι' αὐτοῦ σέσωσμαι, εἶπεν, σὺν ἐμοὶ δὲ ἔστω σοι, μῆτερ, καὶ Ἀντίοχος τέκνον. — ἡ δὲ τῷ ἐρχομένῳ Ἀντιόχῳ ἀτενίσασα τοῦτον κατεφίλει. καὶ παραχρῆμα διενόησεν αὐτὸν ἐκεῖνον εἶναι Ἀλέξανδρον καί φησι· Εἴθε μοι, Ἀντίοχε, μηκέτι ἀνακάμψαι πρὸς Ἀλέξανδρον ἀλλὰ σὺν ἐμοὶ εἶναι. ἐπεὶ δὲ τοῦτο

ε 43 = Q, aliqua etiam in K et γ III 22–23

1 Ἀμάστριδα Q: Ἀμαστρίδη K **3** τὸν υἱὸν αὐτῆς ἥκειν QK: ὅτι ὁ υἱὸς αὐτῆς ἥκει γ, qui deinde redit ad rec. β **4** εὐθέως etiam K nunc redit ad rec. β verbis ἐξανέστη τοῦ θρόνου καὶ πρὸς συνάντησιν ἐξῆλθε (sicut ε) ἡ μήτηρ καὶ οἱ ἀδελφοί (III 21 p. 160,2 Bergson) | ἐξανέστη — καὶ K: om. Q: ἐσηκώθην ἀπὸ τὸ σκαμνίν της Mgr **10** post τέκνον iterum γ | ἡ δὲ Q: ταῦτα ἡ Καναδάκη ἀκούσασα καὶ γ (III 21 in fine) | τῷ ἐρχ. Ἀντ. Q: τὸν δοκούμενον Ἀντίοχον γ **11** post ἀτενίσασα add. τὸ περιαστράπτον αὐτῷ κάλλος γεμισθεῖσα ἐπελθοῦσα γ: καὶ ἤβλεπε τὴν ἐμορφάδαν του καὶ ἐξενίζετον Mgr | κατεφίλει Q: -ησεν γ | διενόησεν Q: ἐβρόντησεν εἰς αὐτὴν γ **12** τὸν Ἀλ. γ **13** ante ἀλλὰ habet ἠθέλησας γ: om. Q | εἶναι Q: ὢν μετὰ τῶν ἐμῶν συνδίαιτος εἶναι τέκνων γ

ἀδύνατον, ἐν τοῖς ταμείοις τοῖς ἐμοῖς εἰσελθών, ὅ ἄν σοι ἀρεστὸν τοῦτό σοι χαρίσομαι, ὑπὲρ οὗ σέσωκάς μου τὸν υἱόν.

(2) Καὶ τῆς χειρὸς αὐτοῦ λαβομένη εἰσῄει εἰς τὰ βασίλεια δεικνύουσα τοῦτον παμποίκιλα χρήματα. ἐκ δὲ ταμείου εἰς ταμεῖον τοῦτον μετάγουσα ἐν τῷ κοιτῶνι αὐτῆς εἰσήγαγε καί φησιν· Τί βούλει χαρίσομαί σοι, Ἀλέξανδρε; — ὁ δὲ θροηθεὶς ἔφη· Ἀντίοχος καλοῦμαι, οὐχὶ Ἀλέξανδρος. — ἡ δὲ εἶπεν· Ἐγὼ μέν σε τέως Ἀλέξανδρον καλῶ, σὺ δὲ Ἀντίοχον σεαυτὸν κάλει. εἰ δὲ καὶ δυσανασχετεῖς τῇ τοῦ ὀνόματος κλήσει, τήνδε τὴν εἰκόνα σου ἐπίγνωθι. — ὁ δὲ ἰδὼν ἀλλοιοῦται καὶ ἤρξατο μαίνεσθαι καὶ τοὺς ὀδόντας τρίζειν. καὶ διενοεῖτο πρῶτον μὲν αὐτὸν ἀνελεῖν. γνοῦσα δὲ αὐτοῦ τὴν γνώμην Κανδάκη περιπλακεῖσα τοῦτον κατεφίλησεν εἰποῦσα· Μὴ συμπεσέτω σου τὸ πρόσωπον, μηδὲ λογίσῃ κατὰ σεαυτοῦ κακόν. ἐγὼ γὰρ οὐ φανερὸν τοῦτο ποιήσω, ἀλλὰ μᾶλλον πλεῖστά σοι δοῦσα δῶρα ἐξαποστείλω σε, οὐ γάρ ἐστι θεμιτόν μοι τὸν τοιοῦτον καὶ τηλικοῦτον ἄνδρα κακῶς διαθεῖναι, ἀλλὰ καὶ περισῴσω καὶ τῷ ἰδίῳ ἐκπέμψω

---

1 ὅ ἄν Q: ὅ ἔστιν γ **3** λαβομένη Q: λαβόμενος γ: λαβοῦσα corr. C | τὰ om. Q **4–7** δεικνύουσα — θροηθεὶς ἔφη om. γ **7–9** Ἀντίοχος — κλήσει etiam γ III 22 p. 378, 9–12 Parthe **7** οὐχὶ δὲ γ **8** μέν Q: δέ σε γ **9–12** τήνδε — ἀνελεῖν om. γ **12–14** γνοῦσα — κακὸν etiam γ p. 380, 4–8 Parthe **12** τὴ γνώμη Q: τὴν βουλὴν γ | Κανδάκη Q: ἡ Κ. καὶ ὡς αὐτοῦ συμπεπτώκει τὸ πρόσωπον γ **14** ante μηδὲ add. τέκνον Ἀλέξανδρε γ **14–15** ἐγὼ — ποιήσω om. γ **14** τοῦτο corr. e τοῦτον Q **15** ἀλλὰ μᾶλλον inc. denuo γ, antea habet μὴ γὰρ δοκήσῃς κατὰ σέ τι τῶν ἀνιαρῶν **16** post ἄνδρα add. ἐν τε φρονήσει καὶ ἀνδρίᾳ γ: similia Mgr **17** διαθεῖναι Q: διατεθῆναι γ | post ἀλλὰ καὶ add. μετὰ τῆς προσηκούσης τιμῆς γ | περισῴσω Q: περ. μᾶλλον γ

στρατῷ. εἴθε μοι παῖδά σε εἶχον, Ἀλέξανδρε, καὶ διὰ σοῦ πάντων τῶν ἐθνῶν ἐκυρίευον. πλὴν ὡς μήτηρ γνησία σοι νουθετῶ· μηκέτι αὐτοῦ κατάσκοπος γένῃ, οὔπω γὰρ ἐπίστασαι τὰ τῆς τύχης ἀπόκρυφα. — ταῦτα αὐτῷ εἰποῦσα καταλαβομένη τῆς χειρὸς διῆγεν ἐν τοῖς βασιλείοις, ὅμως αὐτῷ τὰ πάντα φιλικῶς διατεθεῖσα. καὶ ἀμέριμνον περὶ τοῦ ἀναγνωρισμοῦ αὐτὸν ποιησαμένη τῶν μελάθρων ἐξῄεσαν.

(3) Καὶ δὴ Δωρὴφ ὁ υἱὸς Κανδάκης ὁ πρῶτος παραγίνεται φυγὰς διωκόμενος παρὰ τῶν Ἀλεξάνδρου προφυλακῶν μόλις περισωθεὶς τὸν σὺν αὐτῷ ἅπαντα ἐκεῖσε ἀπολέσας στρατόν. ὡς δὲ περὶ Ἀντίοχον ἠκηκόει ὅτι παρὰ τῇ μητρὶ καὶ τῷ ἀδελφῷ φιλικῶς διάκειται, τὸν περὶ αὐτοῦ ἐσκέπτετο θάνατον. Κανδάκη δὲ τοῦτο οὐκ ἔλεγεν γενέσθαι, ὡς λίαν Ἀλέξανδρος φιλόξενος εἶναι· ὃς καὶ Κανδαύλην τὸν σὸν ἀδελφὸν αἰχμαλωτισθέντα ἐλυτρώσατο, καὶ φίλος ἡμῶν ὁ κοσμοκράτωρ κατένευσεν ἔσεσθαι, ὥστε τὸν ποιήσαντα ἔλεος μετὰ τοῦ ἀδελφοῦ σου πρέσβυν ἐξαπέστειλε, καὶ ἀντὶ τῶν ἀγαθῶν, ὧνπερ παρ'

1–2 *εἴθε — ἐκυρίευον* γ: *ἤθελα νὰ σὲ εἶχα υἱὸν Ἀλέξανδρε καὶ μετὰ σένα ἤθελα ἐπονομασθῆν τοῦ κόσμου ὁλονοῦ βασίλισσα* Mgr: om. Q 2 *μήτηρ* post *νουθετῶ* γ 3 *γένῃ* QC: *γενοῦ* R: *γίνου* D | *γὰρ* Q: *γὰρ τέκνον* γ 4 *ταῦτα αὐτῷ* Q: *καὶ ταῦτα* γ | *καταλαβομένη* Q: *κρατήσασα αὐτὸν* γ 5 *διῆγεν* Q: *ἐξῆλθεν* γ 5–14 *ὅμως — ὃς καὶ Κανδαύλην* om. γ 8 *Δωρὴφ* vel *Δωρὴβ* varie scriptum Q γ: *Δορυφόρος* Mgr: *Θόας* β: *Κάραγος* α: *Δορὴφ τὸν καὶ Θόαντα καὶ Φύρμον καλούμενον* C 14–15 *τὸν σ. ἀ. αἰχμ.* Q: *αἰχμάλωτον ὄντα τὸν σὸν ἀδελφὸν* γ 15 post *ἐλυτρώσατο* add. *μετὰ τῆς αὐτοῦ γυναικὸς ἐκ τοῦ τυράννου τῶν Βεβρύκων* γ: *καὶ τὴν γυναῖκαν του καὶ τὴν θυγατέραν του καὶ τὰ πράγματά του ὅλα ἀπὸ τὸν Εὐρύμιτρον τῆς Σολουρίας* Mgr: om. Q

ἡμῶν ὀφείλει παθεῖν, καὶ φονευθῆναι τοῦτον ἀπειλεῖς; μή, τέκνον, καὶ γὰρ Ἀλέξανδρος ἐπίκειται, καὶ μὴ τὸν φιλικῶς ἡμῖν διακείμενον, οὗπερ οὔκ ἐσμεν ἄξιοι, καὶ τὸν θυμὸν αὐτοῦ ἐπάξῃ ἐφ' ἡμᾶς, καὶ κακῶς ἡμῖν ἔσται. ἀκήκοα γὰρ μηδένα εὑρεθῆναι ἐν τῇ ὑπ' οὐρανὸν τοῦτον παροργίσαντα καὶ μὴ ἐμπεσεῖν εἰς τὰς χεῖρας αὐτοῦ. — Δωρὴφ δὲ ἐπὶ τούτῳ οὐκ ἐπείθετο, ἔλεγε δὲ ἀναμφιβόλως Ἀντίοχον ἀποκτεῖναι, ὡς Ἀλεξάνδρῳ λύπην περιποιήσῃ τὸν αὐτοῦ παῖδα θανατώσας· Καὶ γὰρ αὐτὸς οὐ μετρίως με λελύπηκε Πῶρον τὸν ἐμὸν πενθερὸν ἀποκτείνας. καὶ εἰ μετὰ ταῦτα δόξει μοι ἀποθανεῖν, οὐδεμία μοι φροντίς.

(4) Ἐπὶ τούτῳ Κανδαύλης παραγενόμενος πάντα παρὰ τῆς αὐτοῦ μηνύεται γυναικὸς καὶ Ὦ, ἔφη, ποῦ ἧς, δυσθάνατε; καὶ Ἀντίοχος σήμερον τελευτᾷ παρὰ Δωρὴφ τοῦ ἀδελφοῦ. — ἀκούσας δὲ ταῦτα Κανδαύλης δρομαῖος παραγίνεται καὶ τὸν ἀδελφὸν καταλαμβάνει τὸ ξίφος ἐν ταῖς χερσὶν ἔχοντα καὶ τῇ μητρὶ μαχόμενον Ἀντίοχον ἀνελεῖν. ὁ δὲ τὸ ξίφος ἐδράξατο ἐκ τῶν τοῦ Δωρὴφ χειρῶν καί φησι· Τί δαιμόνιον λύσας [πρὸς Ἀντί]οχον σύ, οὐδὲ [.....]αι βλέψαι [ἐγὼ γὰρ] πρῶτον ἀποθάνοιμι. εἰ

---

1 καὶ φον. Q: ἀλλὰ καὶ φον. γ 2–3 ἐπίκειται — διακείμενον Q: φιλικῶς ἡμῖν διάκειται γ 3 οὗπερ γ: ὅπερ Q | τὸν θυμὸν Q: μὴ τῷ θυμῷ γ 4 καὶ κακῶς ἡμῖν ἔσται Q: om. γ | ἀκήκοα Q: ἀκηκόαμεν γ 5 παροργίσαντα Q: παροξύναντα γ 6 post χεῖρας αὐτοῦ add. βλέπε οὖν τέκνον μὴ καὶ ἐν ἡμῖν τὰ ὅμοια πᾶσιν συμβήσεται γ 7–8 λύπη περιποιήσει Q: λύπην ἐπάξω γ 8 παῖδα θαν. Q: θαν. παῖδα Ἀντίοχον γ 9–10 καὶ εἰ Parthe: καὶ εἰ καὶ R: καὶ QC: om. D 10 μοι γ (R): με Q | ante φροντὶς add. ἔστω vel ἔσται γ 11 ε 43,4 om. γ 16 ὁ δὲ τὸ ξίφος scripsi: ὡς δὲ τοῦ ξίφους Q 17 a voce λύσας folium vitiatum in Q, lacunas supplevi 18 fortasse δύνασαι

δὲ καὶ μο[νομ]αχῆσαι τοῦτον θελήσειας, εὐχερῶς παρ' αὐτοῦ ἀναιρεθήσῃ, παρ' ἡμῖν εἴτε τῆς μητρὸς μὴ ἐκδεχόμενος βοήθειαν.

(5) Ἐπὶ τούτῳ Ἀλέξανδρος παραγίνεται ἐκ τοῦ τόπου ἔνθα κρυπτόμενος ἦν παρὰ Κανδάκης καί φησιν πρὸς Δωρήφ· Θέλεις με θανατῶσαι; τὸ ξίφος μοι πάρεχε, κἀγὼ ἐμαυτὸν ἀνελῶ, οὐ γὰρ παρ' ἑτέρου ἀποθανοῦμαι. καὶ γὰρ οὐ φοβερὸς καθέστηκε Μακεδόσιν ὁ θάνατος καθὼς καὶ ὑμεῖς τοῦτον δεδοίκατε. τί οὖν ἀπολογίσασθε πρὸς Ἀλέξανδρον ἐπὰν καταλάβοι τὸ τοῦ οἰκέτου ἐκζητῆσαι αἷμα; οὐ γὰρ θλῖψις αὐτῷ περὶ ἐμοῦ. Κανδαύλης [αὐτὸν] παραλαβὼν [σὺν] τῇ μητρὶ ἔν[δον εἰσάγει] τῶν βασιλείων ἐκλιπαροῦντες μὴ αὐτὸν πρὸς Ἀλέξανδρον ἀπιόντα κατὰ Δωρὴφ μνησικακήσῃ. ὁ δὲ συνετίθετο αὐτοῖς τὰ παρὰ Δωρὴφ καταφρονητὰ ἔχειν. ταῦτα αὐτῶν λεγόντων Κανδάκη ἐμειδία καὶ περιεκέχυτο ἐπ' αὐτὸν ἀδήλως διανεύουσα καὶ τὴν φρενήρη αὐτοῦ ἀπόκρισιν ἐκπληττομένη. εὐθὺς ἄγουσιν αὐτῷ δῶρα πολύτιμα ἔν τε σκεύεσι καὶ ἱματίοις διαχρύσοις, καὶ λόγῳ τῶν ἐτησίων φόρων τάλαντα τριακόσια, ἅτινα εἶπεν μὴ λαβεῖν, ἀλλὰ τὸν λόγον τῷ Ἀλεξάνδρῳ ποιήσομαι ...

---

1 *θελήσειας* corr.: *θελήσας* Q **4–10** *ἐπὶ τούτῳ – περὶ ἐμοῦ* etiam γ **4** *ἐκ τοῦ τόπου* om. γ **5** *κρυπτ. ἦν* Q: inv. in γ | *πρὸς* γ: om. Q: *εἶπεν τὸν Δορυφόρον* Mgr **5–6** *θέλεις με θαν.* Q: *εἰ θέλεις θαν. με* γ: *ἐβλέπω ὅτι θέλεις νὰ μὲ σκοτώσῃς* Mgr **6** *ἀνέλω* Q **8** *καθὼς καὶ* Q: *καθὼς* γ **9** *ἀπολογίσασθε* Q: *ἀπολογήσῃ* γ **10** *ἐκζητῆσαι* Q: *-τήσων* γ **10–p.166,3** Κανδαύλης – *τῆς πόλεως* om. γ, Q vitiatum **19** post *ποιήσομαι* desunt 2 lineae *καὶ αὐτὴ τὸν εἶπεν· ἐὰν ἀφίσῃς τὸ λιζάτον, ἐγνωρίσει σὲ θέλουν, καὶ ἔπαρ' τὸ καὶ ἔχε πρὸς ἡμᾶς ἀγάπην μεγάλη καὶ φιλίαν* Mgr

....χάρις ἡμῖν [...........] δουλία τῷ ἀδελφῷ σου πάνυ. τὸ δὲ χρυσίον λαβὼν ἄπιε Ἀλέξανδρον ὑπὲρ ἡμῶν αὐτῷ ἐξιλεούμενος.

(6) Παραλαβὼν δὲ πάντα ἐξῄει τῆς πόλεως. Κανδαύλης δὲ συνεξῆλθεν αὐτῷ μέχρι τῶν ἑαυτοῦ συνόρων, ἐπιδοὺς αὐτῷ καὶ ἐκ τῶν μετ' αὐτοῦ παίδων ἄνδρας τριάκοντα, οἵτινες καὶ μέχρι τοῦ στρατοπέδου ἤλθοσαν σὺν Ἀλεξάνδρῳ. ἐκεῖσε δὲ αὐτὸν ἐγνώρισαν καὶ οὐ μετρίως κατεπλάγησαν, ὡς μήπω ἀνάμνησιν λαβὼν †δωρὴκ† τούτους κακῶς διεξέλθῃ. ὁ δὲ Ἀλέξανδρος αὐτοὺς φιλοφρονησάμενος ἀπέστειλε πρὸς Κανδαύλην εἰπών· Ἄπιτε πρὸς βασιλίδα, εἴπατε Κανδάκῃ τάδε· Ἀλέξανδρος τῷ στρατοπέδῳ διασέσωσται, ἐφ' ὑμᾶς δὲ τὴν φάλαγγα ἐπεκτεῖναι ἐβούλετο, εἰ μὴ τὸ ἐν σοὶ αὐτὸν κατεκράτησε δέος.

44

(1) Ἐν τούτοις τὰ ἐκεῖ διελθὼν καὶ τὸν σύμπαντα καθυπο-

---

3 a voce *παραλαβὼν* incipit denuo K | *πάντα* K: *-τας* Q **4** *αὐτῷ* Q: *αὐτῷ καὶ* K: *μετ' αὐτοῦ* γ | *ἑαυτοῦ* Qγ: *ἑαυτοῖς* K | *συνόρων* Q: *ὁρίων* Kγ **6** *ἤλθοσαν* Q: *ἦλθον* γK **7–8** *ὡς μήπω – διεξέλθῃ* om. γ **8** *δωρὴκ τούτους* Q: *παρὰ θῶα τὸν* K, latet nomen *Θόας* in K, *Δωρὴφ* in Q, fuit fort. *τῶν παρὰ Δωρὴφ τούτους* | *διεξέλθῃ* Q: *διεξελθεῖν* K una linea in Q legi non potest **8–9** *ὁ δὲ Ἀλέξανδρος* γ: *ἀλλ' ὅμως* K **9–10** lemma *ἀπέστειλε – εἴπατε* vix legitur in Q **11** *δὲ* Kγ: om. Q **13** post *δέος* hab. titulum *Ἀλέξανδρος ἐξελθὼν ἐκ τῆς Κανδάκης καταλαβὼν τὸ ἴδιον στράτευμα* K, deinde revertit sicut γ ad recens. β III 25

ε 44,1–2 solo in Q, reliqua etiam in H et γ III 32 p. 438 sqq. Parthe, atque partim in K

τάξας κόσμον, τὴν ὁδοιπορίαν πρὸς Μακεδονίαν ποιούμενος, παίζων καὶ παιζόμενος καὶ τοῖς οἰκείοις εὐφρηνόμενος, πότους δὲ τοῖς ἄρχουσι καὶ παντὶ τῷ στρατοπέδῳ καθ' ἑκάστην ποιούμενος, δόματα τοῖς πᾶσιν ἐδίδου. Πέρσας οὖν ἐν Περσίδι ἐξαπέστειλε καὶ Σέλευκον σὺν αὐτοῖς, Αἰγυπτίοις δὲ σὺν τοῖς ἄρχουσι δεῖπνον ποιησάμενος .....

(2) ..... ὁ δόλιος δο[ῦλος ....] αὐτῷ τῆς ζωῆς. μανίᾳ δαιμονικῇ συσχεθεὶς τὸν Ἀλεξάνδρου ἐμελέτησε θάνατον, ὅμως τὴν εἰς Μακεδονίαν περιέμενεν ἄφιξιν, ἐκεῖσε αὐτὸν ὅπως ἐργάσηται. ἡ δὲ τύχη πάντως ἑαυτῆς ἐφύλαξε τοὺς θεσμούς, καὶ Ἀλέξανδρον οὐ παρέασεν τῇ πατρίδι ἐλθόντα τελευτῆσαι. ἔδοξε γὰρ αὐτὸν ἐν Περσίδι ἀντιστραφέντα ἐκεῖσε διατρίψαι καὶ μετὰ ταῦτα ἅμα Ῥωξάνῃ καὶ παντὶ τῷ στρατῷ τῷ Περσικῷ καὶ Μακεδονικῷ Μακεδονίαν καταλαβεῖν. τοῦτο δὲ ποιήσας ⟨ἐν⟩ Περσίδι κατέλαβε .....

(3) ..... ἡ κύλιξ δι----- ἐν ᾗ τὸ φάρμακον κατεσκεύασε. ὁ δὲ δόλιος τῷ τῆς μνησικακίας ἠλαύνετο δαίμονι ὥστε Ἀλέξανδρον θανατῶσαι. τέλος δὲ ἐν τῷ συμπληρώματι τοῦ πότου Ἀλέξανδρος τὸ φάρμακον ἔλαβε. καὶ παραχρῆμα ὁ ἀὴρ ἐμελαίνετο, οἱ ἀστέρες ὡς δὴ τὸ πραχθὲν μὴ φέροντες βλέπειν τὴν

---

2 πότους corr.: πότοις Q 6 post ποιησάμενος inc. fol. 104^{r} supra vitiatum, desunt 3–4 lineae 13 διατρίψαι corr.: διατρίψας Q 14 τῷ Περσικῷ καὶ Μακεδονικῷ corr.: τὸ περσικὸν καὶ μακεδονικὸν Q 15 ἐν add. | post κατέλαβε fol. 104^{v}, desunt 4 lineae, deinde una linea evanida 19 παραχρῆμα: acc. nunc H et γ 20 ἐμελαίνετο QHD: ἐμελανοῦτο RC | οἱ QH: καὶ οἱ γ | ὡς δὴ QH: ὡς δίκην γ | πραχθὲν γ: προσταχθὲν QH 20–p.168,1 post βλέπειν denuo lacuna in Q (initio fol. 105^{r}) usque ad -ιππεύσετε

ἑαυτῶν ἤμβλυναν λαμπρότητα. διέγνω δὲ ὅμως τὸ εἰς αὐτὸν πραχθὲν Ἀλέξανδρος καί φησι· Μεθ' ὑμῶν οὐκέτι τοῖς ζῶσί με ὄψεσθε, οὐκέτι σὺν ἐμοὶ ἐφιππεύσετε, οὐκέτι τῆς φωνῆς μου ἀκούσετε, οὐκέτι λοιπὸν σὺν ὑμῖν ἔσομαι. οἴμοι, πρὸς Ἅδην κατεπείγομαι φθάσαι, οἴμοι τὸ λοιπὸν οὐκέτι δέρκομαι ὑμᾶς, δόλῳ εἰργάσατό μέ τις.

(4) Ταῦτα Μακεδόνες ἅμα ἤκουσαν, τοῦ δείπνου εὐθὺς ἐξανίσταντο καὶ τὸν θρῆνον ἐκ πολυπόνων ψυχῶν ἐλεεινῶς ᾖδον καί· Οὐαί, τί γέγονεν, ἔλεγον, καὶ τίς ἡμῶν ἔσβεσε τῆς ἡμέρας τὸν λύχνον; τίς τὴν Μακεδόνων καταβαλεῖν ἠθέλησε δύναμιν; τίς δὲ καὶ τὴν αὐτῶν χαρὰν εἰς πένθος μετέστρεψεν; διατί δὲ καὶ ἡ ἑσπέρα ταύτη γέγονεν ἡ παγκάκιστος καὶ φονεύτρια; διατί δὲ καὶ ὁ ταῦτα κατατολμήσας παραχρῆμα οὐκ ἐγεγόνει ἀνήρπαστος, ἀλλὰ τελευτήσαντος Ἀλεξάνδρου αὐτὸς τοῖς ζῶσι συνείη καὶ τοῦδε τοῦ φωτὸς ἀπολάβοι ὁ ἄθλιος; — λοιπὸν ἄφνω

---

1 διέγνω H: ἐγνωκὼς γ 2 Ἀλέξανδρος post ἐγνωκὼς γ | καί φησι H: οἰμώξας σὺν δάκρυσιν ἔφη τοῖς συνανακειμένοις Ἀνάστητε, ὦ φίλοι μου, λοιπὸν τοῦ καθεύδειν, οὐκέτι Ἀλέξανδρος γ 3 σὺν γ: om. H 4 ἀκούσετε γ: -σητε H: -σατε Q 5–6 οἴμοι — τις om. γ 5 δέρκομαι: accedit nunc K 6 δόλῳ QK: δόλον H | μέ QK: μοι H 7 τοῦ Kγ: καὶ τοῦ QH 8 ᾖδον QH: ἐπῇδον K: ἐποίουν γ 9 οὐαί QH: ὢ οἷον Kγ 10 post λύχνον inc. Q fol. 105ᵛ, desunt verba usque ad τελευτήσαν]τος | τὴν H: τῶν K: τὴν τῶν γ | καταβαλεῖν Kγ: καταλαβεῖν QH 12–13 ἡ ἑσπέρα — διατί δὲ καὶ om. H propter homoeotel. 12 γέγονεν γ: ἐγένετο K | φονεύτρια γ: φονεὺς K 13–14 οὐκ ἐγ. ἀνήρπαστος H: ἀνάρπαστος οὐκ ἐγ. γ: ἀνήρπαστος ἐγ. K 14–p.169,3 ἀλλὰ — τῇ ἐπιούσῃ om. K 15 συνείη H: συνῇ Qγ | καὶ τοῦδε — ἄθλιος om. γ | ἄφνω QH: om. γ

Μακεδόνας ἔλαβε θρῆνος, μέλος, καὶ οὐαί. ἐν τούτοις πᾶσιν ἡ νὺξ ἐτελέσθη.

(5) Τῇ ἐπιούσῃ δὲ Ἀλέξανδρος ἐπὶ τὸ χεῖρον προέκοπτε. καὶ ἀναστὰς τῆς κλίνης ἔρχεται ἐπὶ τὸν ἐπὶ ποταμὸν ἱδρυμένον ἡλιακὸν, καὶ βουλὴ αὐτῷ ἦν κάτωθεν ἀκοντίσαι. Ῥωξάνη δὲ ἡ τούτου γυνὴ τούτου παρακαθεζομένη τοῦ ποιῆσαι ἐκώλυσεν. ὡς καὶ κατασχοῦσα σὺν τῇ μητρὶ ἐν τῇ κλίνῃ ἀνέκλινεν, καὶ δὴ τοῦ πλήθους ἐπισυναγέντος καὶ θρήνοις ἐπικοπτομένου, ὁ Βουκέφαλος ἵππος δρομαῖος μέσον εἰσῆλθε πάντων. καὶ τῇ κλίνῃ ἐπιστὰς ἤρξατο τοῖς δάκρυσιν καταλούειν {τὴν κλίνην}. κοπετὸς δὲ γέγονε μέγας Περσῶν ὁμοῦ καὶ Μακεδόνων ἐπὶ τῇ τοῦ ἵππου δακρύσει.

45

(1) Γνοὺς δὲ Ἀλέξανδρος ἑαυτὸν ἤδη μέλλοντα τελευτᾶν,

---

1 cf. Ezechiel 2,10

1 ἔλαβε QH: ἔλαβον ut vid. γ **4–8** καὶ ἀναστὰς – ἐπικοπτομένου om. γ **4** ἐπὶ QH: κατὰ K **4** ἐπιπόταμον QH: ποταμὸν K **4–5** ἡλιακὸν ἱδρ. codd. transposui: ἐξαναστὰς ὁ Ἀλέξανδρος ἐκ τῆς κλίνης .... τετραποδιστὶ ἐπορεύετο πρὸς τὸν ποταμὸν A **5** βουλὴ αὐτῷ ἦν QH: ἐβούλετο ἑαυτὸν K | post ἀκοντίσαι inc. Q fol. 106r, desunt verba usque ad ἐπι]κοπτομένου, exceptis frustulis **6** ἡ τούτου γυνὴ H: om. K | τούτου H: τοῦτον K | τοῦ H: τοῦτο K **8** δὴ K: om. H | ἐπικοπτομένου H: κοπτομένου K **10** τὴν κλίνην delevi **12** δακρύσει QH: δακρυρροίᾳ Kγ

ε 45 = QH (sed partim tantum), γ (partim solo in D, partim solo in C), III 33 p.442,15–448,11 Parthe; deest in K

13 ὁ Ἀλέξανδρος γ | μέλλοντα QH: om. γ

τῇ μητρὶ ἀποστεῖλαι τὰ περὶ ἑαυτοῦ ἔδοξε. τὰ δὲ τῇ ἐπιστολῇ ἐμφερόμενα τάδε ἦν·

Ἀλέξανδρος ὁ υἱός σου, ὅ ποτε ὢν βασιλεύς, ὅς πᾶσαν περιενόστησε γαῖαν, πλείστας τε πόλεις καὶ χώρας τῷ δόρατι ἀνεῖλετο. ἀπὸ γὰρ δυσμῶν ἐπὶ ἀνατολῆς ἐπειγόμενος, οὐκ ἦν τῇ τύχῃ μου ὁ ἀντιταχθῆναι δυνάμενος ἐν τῇ ὑφηλίῳ οἰκουμένῃ. ἐπὶ τὴν ἀοίκητον ἐπιβὰς πολλοὺς ὑπέστην κινδύνους, χώρας ἀγρίων ἀνθρώπων διερχόμενος, διῆλθον δὲ Μακάρων νήσους. καὶ τὴν σκοτεινοτάτην γαῖαν διεπορεύθην ὡσεὶ πορείας ἡμερῶν πολλῶν, καὶ μέχρι θείας τινὸς ὀπτασίας οὐ παρεκελεύσθην ὑποστραφῆναι. ἀνθυποστραφεὶς δὲ Πῶρον ἀπέκτεινα τὸν τῶν Ἰνδῶν βασιλέα, καὶ μέχρι τῆς ἐσχάτου διώδευσα θαλάσσης ἔνθα Ἡλίου ὀνομάζεται χώρα.

(2) Ἐκεῖσε οὖν διελθόντες μετὰ Εὐρυμίθρους ἐπολεμήσαμεν. καὶ τοῦτον ἡττήσαντες κατεδίωξα ὄπισθεν αὐτῶν καὶ

---

1 τῇ μητρὶ .... ἀποστεῖλαι (ἐπι- H) ... ἔδοξε QH: ἔδοξεν ἐπιστολὴν γράψαι τῇ μητρὶ αὐτοῦ γ 2 ἐμφερόμενα γ: ἐμφαινόμενα QH | τάδε ἦν QH: εἰσιν τάδε γ | post τάδε ἦν Q fol. 106ᵛ, desunt verba usque ad δυνάμε]νος 3 ὁ υἱός σου H: om. γ 4 πόλεις καὶ χώρας H: inv. in γ 4–5 ἀνεῖλετο H: -ατο R: ἐνήλατο C: ἐπόρθησε D 6 ἀντιταχθῆναι δυνάμενος H: ἀντισταθῆναι βουλόμενος ut vid. γ | ἐν τῇ ὑφ. οἰκ. γ: ὑπὸ (ἐπὶ H) τὴν ὑφήλιον οἰκουμένην QH | ἐπὶ QH: ἔπειτα γ 8 a voce χώρας incipit lacuna in QH; usque ad ε 45,3 (ἐκεῖθεν) textum praebet solus γ 11 ἀνθυποστραφεὶς D: -στρέψας C: ἀνθυποστραφέντος μου R sequentia usque ad χώρα exornavit C (p. 445,17 sqq. Parthe)

14 ε 45,2 om. C | ἐκεῖσε οὖν R: ἐκεῖθεν δὲ D 15 κατεδίωξα R: -αμεν D | αὐτῶν R: αὐτοῦ D

ἐξήγαγον αὐτοὺς ἐκ τῆς ἰδίας γῆς καὶ κατέκλεισα αὐτοὺς ἐν τῷ μὴ τέλος ἔχοντι πεδίῳ

τοῦ βορρᾶ. ἐπεκαλεσάμην δ' αὐτὸς κύριον τὸν θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς συνελθεῖν μοι εἰς βοήθειαν, ὅς οὐ παρεῖδέ μου τὴν δέησιν, ἀλλ' αὐτίκα συνήγαγε δύο Μαζοὺς τοῦ Βορρᾶ καὶ ἀπέκλεισε τὴν ἔξοδον τούτων. ἔνθα καὶ αὐτὸς πύλας ἔπηξα μετὰ ἀσικήτου, καὶ βάτον ἐφύτευσα, ὅν οὐ δυνήσονται ὑπερβῆναι μέχρις ὅτου πληθυνθείη ἡ ἁμαρτία ἐπὶ τῆς γῆς. τότε ἀντεξάξει αὐτοὺς ὁ θεὸς εἰς ἐξολόθρευσιν πάντων τῶν ζώντων.

(3) Ἐκεῖθεν δὲ πάλιν ἀνθυποστρέψας τὴν παράλιον διοδεύων πόντου βορείου, ἐν ᾧ κατασκοπεῦσαι ἐν Ἀμάστριδι Κανδάκῃ τῇ βασιλίσσῃ ἐπελθὼν ἐγνώσθην παρ' αὐτῆς. ἥτις ἵλεώς μοι ἐγένετο καὶ οὐκ ἀνταπέδωκέ μοι κακὰ ἀντὶ ἀγαθῶν ὧν αὐτῇ ἐποίει, Κανδαύλην τὸν υἱὸν αὐτῆς ῥυσάμενος σὺν γυναικὶ καὶ στρατῷ ἐκ χειρῶν Εὐαγρίδου. καὶ ἡ πολέμιος γυνὴ τὸ ἐν ἐμοὶ ᾤκτειρε νέον. καὶ οἱ σὺν ἐμοί, οἱ τῶν ἐμῶν ἀπολαβόντες ἀγαθῶν, ἀνιλέως με παραπέμπουσι θανάτῳ πικρῷ, μὴ οἰκτείραν-

---

1 ἐξήγαγον – γῆς R: ἔξω τῆς ἰδίας γῆς ἠγάγομεν D | κατέκλεισα αὐτοὺς R: κατεκλείσαμεν D 2 post πεδίῳ unum folium excidit in R 3–9 τοῦ βορρᾶ – ζώντων in solo codice D conservata 4 ὅς vel θ(εό)ς D

ε 45,3 denuo in QH, textum praebet, etiam C, lacuna in R et D

10–11 διοδεύων QH: διώδευσα C 11 πόντου βορείου QH: ὁδὸν C | ᾧ QH: τούτῳ C 11–12 ἐν Ἀμ. Κανδ. τῇ βασιλίσσῃ (βασιλίδι H) ἐπελθὼν QH: τὸν τόπον Αμαστρίδος τῆς πόλεως ἠθέλησα καὶ C | ἐγνώσθην QH: ἐπ- C 13 ἀνταπέδωκε QH: ἀπέδωκε C 13–14 κακὰ – ἐποίει Q: κακὰ ἀλλὰ ἀγαθὰ ἀντὶ κακῶν H: κακὰ ἡ ὄντως καλὴ ἕνεκεν ἑνὸς μικροῦ ἀγαθοῦ ὃ ἐποίησα εἰς C 16 καὶ οἱ σὺν QH: οἱ δὲ σὺν C | οἱ QH: om. C 17 ἀνιλέως QH: πικρῷ καὶ ἀνελεεῖ C | πικρῷ QH: om. C 17–p. 172,1 οἰκτείραντες QH: οἰκτειρήσαντες C

τές με τὸ σύνολον, μῆτερ ἐμή.

(4) Ἐπὰν τῷ νεύματι τῆς ἄνω προνοίας τὸν σύμπαντα κόσμον κατεκυρίευσα, οὐ συγκεχώρημαι παρὰ τῶν ἐμῶν τὴν ἐμὴν καταλαβέσθαι πατρίδα καὶ σὲ θεάσασθαι. ὦ μῆτερ, τὸ λοιπὸν τῆς ἐμαυτοῦ ζωῆς ἐστέρησαι. οἴμοι, στρατὸς Μακεδονικὸς τὴν ψυχήν μου λυπεῖ, καὶ τῷ θανάτῳ παραπεμπομένην βλέποντες οὐ δύναται βοηθῆσαι. λοιπόν, μῆτερ ἐμή, γνῶθι τοῦ λοιποῦ ἄτεκνον εἶναί σε. δέξου τήνδε τὴν πάντων ὑστάτην καὶ δυστυχεστάτην γραφήν μου, οὐκέτι γάρ με θεωρεῖς λογογραφοῦντα πρὸς γὰρ χρονιωτάτην καὶ ἀνήλιον καὶ ἀνυπόστροφον στρα-

---

2 post *ἐπὰν τῷ* inc. Q fol. 107v, desunt verba usque ad *βλέ]ποντες*, exceptis frustulis *ἐπὰν* Q: *ἐπὰν δὲ* H: *καὶ ἐπὰν* C | *τῆς ἄνω προνοίας* C: om. H **2–3** *κόσμον κατεκυρίευσα* H: *κατ. κόσμον, τανῦν* C **4** *θεάσασθαι ὦ μῆτερ* H: *ὦ μῆτερ μου θεασάμενος* C **5–7** *ἐστέρησαι – βοηθῆσαι* H (Q): om. C **7** *δύναται* Q: *δύνανται* H | *γνῶθι* C: *γνώθιτι* Q: *γνώρισον* H **8–9** *δέξου – γραφήν μου* QH: om. C **8** *δέξου* Q: *δέχου* H **8–9** *δυστυχεστάτην* Q: *ἀτυχεστάτην* H **9** *θεωρεῖς* QH: *θεωρήσεις* C | *λογογραφοῦντα* H: *μελογραφοῦντα* Q sequitur lacuna in QH usque ad ε 46,2 **10** post *γὰρ* finis cap. 45 solo in codice C, qui ante *πρὸς γὰρ* iteravit *οὔτε τῆς φωνῆς μου ἀκούσεις, ἀλλ' οὐδ' ἐπιστολὴν ἑτέραν παρὰ Ἀλεξάνδρου δέξῃ. τὸ γὰρ ἀποδημεῖν με ἐφικτὸν ἦν, ἐν δὲ τῇ νῦν ἀποδημίᾳ δυσχεραίνω, ὦ φίλη μου μῆτερ* fortasse per se; habet D illustrat. et titulum (nr. 249 Xyngopoulos) *ἡ δὲ Ὀλυμπιὰς δεξαμένη τὰ γράμματα Ἀλεξάνδρου καὶ ἀναγνοῦσα, παραχρῆμα ἔκλαυσεν πικρῶς ὅτι γε τὸν τοιοῦτον μέγιστον βασιλέα ἀνεῖλον φαρμάκῳ οἱ οἰκεῖοι αὐτοῦ.*

τείαν ἀπέρχομαι, καθὼς πᾶσιν ἀσυγχώρητος. λοιπὸν δὲ ἔχε, ὦ μῆτερ μου, τήνδε τὴν ἐπιστολὴν ἀντὶ ἐμοῦ καὶ ἀνάγνωθι εἰς τὸ ἐπίλοιπον τῆς ζωῆς σου καὶ θρήνοις μνημόνευε στέρησιν τέκνου.

46

(1) *Λοιπὸν διανέμει τὴν ἀρχὴν* Ἀλέξανδρος *τοῖς ἑαυτοῦ ἄρχουσιν* Σελεύκῳ, Φιλίππῳ, Ἀντιόχῳ, Φίλωνι {τῷ Βύζᾳ}. Σέλευκον *μὲν* Πέρσαις *καὶ* Ἰνδοῖς *κυριεύειν*, Φίλιππον *δὲ* Αἰγύπτου *ἄρχειν*, Ἀντίοχον *δὲ τὴν μέσην γαῖαν τῶν* Ἀσσυρίων, Φίλωνα *δὲ* {*τὸν καὶ* Βύζαντα} *τὴν* Μακεδονικὴν *διέπειν ἀρχήν*,

ε 46 partim in γ III 33–34
ε 46,1 = Kγ; a voce *καὶ παντὶ* denuo R, etiam in ultimo folio cod. D nihil nisi *δέδωκε – ἀθετῆσαι* et titulus no. 250 Xyngopoulos, *καὶ Σελεύκῳ μὲν τὴν τῶν Περσῶν καὶ Ἰνδῶν ἐχορήγησε βασιλείαν, Ἀντιόχῳ δὲ τὴν τῆς μέσης γαίας τῶν Ἀσσυρίων ἡγεμονίαν καὶ Φιλίππῳ μὲν τὴν ἀρχὴν δέδωκεν Αἰγύπτου*
5 *λοιπὸν* K: *εἶθ' οὕτως* C | *ὁ Ἀλέξανδρος* C **6** post *ἄρχουσιν* add. *ἤγουν* C: om. K nomina recensionis β inseruit K | *Σελεύκῳ* γ: Πέρδικας K | *Φιλίππῳ* γ (teste D): Πτολεμαίῳ *τῷ* Φιλίππῳ C (secundum β): *καὶ* Πτολεμαῖος K | *Ἀντιόχῳ* γ: *καὶ* Λυσίμαχος K | *Φίλωνι* C: *καὶ* Σέλευκος K | *τῷ Βύζα* (solo in C) delevi
7 *Σέλευκον μὲν* C: Πέρδικας K | *κυριεύειν* K: *βασιλεύειν* C | *Φίλιππον δὲ* dedi: *Φίλιππου δὲ τον καὶ* Πτολεμαῖον C: Πτολεμαῖος *καὶ* Λυσίμαχος Πτολεμαῖος K **8** *Ἀντίοχον δὲ* γ: *Λυσίμαχον* K **9** *Φίλωνα δὲ* C: *Σέλευκος* K | *τὸν καὶ Βύζαντα* C: delevi

τὰ περὶ Ὀλυμπιάδος πλεῖστα παραινέσας αὐτῷ. δέδωκε δὲ ὅμως αὐτῷ καὶ Ῥωξάνην τὴν Δαρείου θυγατέρα, εἰπὼν αὐτῷ πρὸς Ὀλυμπιάδα τὴν ἑαυτοῦ μητέρα ταύτην ἀποκομίσαι σὺν τῇ μητρὶ αὐτῆς καὶ παντὶ τῷ πλούτῳ αὐτῶν, ἐπορκισάμενος αὐτὸν τῷ τῆς τῶν ἀμφοτέρων ἀγάπης ὅρκῳ μὴ ἀθετῆσαι τὰ διατεταγμένα.

(2) Ὡς δὲ ἐτέλεσεν τοῦ λέγειν προσκαλεσάμενος τὸ Μακεδονικὸν στράτευμα ἑνὶ ἑκάστῳ μετὰ δακρύων περιπλεκόμενος κατησπάζετο. ὡς δὲ πάντας ἐτέλεσεν ἀσπάζεσθαι, ὁ Πολυκράτους εἰσέρχεται παῖς, καὶ λίαν ἀλκιμώτατος καὶ πᾶσιν εὐδοκιμήσας τοῖς πολεμίοις καὶ τῷ Ἀλεξάνδρῳ προσφιλέστατος ἦν. καὶ περιπλακεὶς τῷ Ἀλεξάνδρῳ οὐκ ἐβούλετο ἐξ αὐτοῦ διελθεῖν, δεινῶς ὀλοφυρόμενος καὶ ᾆσμα τὸν θρῆνον ποιούμενος. ἐδόκει δὲ σὺν αὐτῷ καὶ ἡ γῆ πενθεῖν, σχεδὸν δὲ παντὶ τῷ ὄχλῳ ὀδυρμοὶ ὀδυρμοῖς καὶ στεναγμοῖς ἀνεκρούοντο. μάλιστα

---

1 *παραινέσας αὐτῷ* C: *αὐτῷ παρακαλέσας* K deinde add. *κατασφαλισάμενος αὐτὸν ὅρκοις εἰς ἅπαν αὐτῆς συμφέρον καὶ θέλησιν καὶ ἐπιμελῶς αὐτὴν διακεῖσθαι ὡς υἱὸν αὐτῆς* C: om. K **2** *ὅμως αὐτῷ* K: om. γ | *Δαρείου θυγατέρα* K: *αὐτοῦ γυναῖκα* γ **3** *ἀποκομίσαι* γ: *ἀποκόμισον* K **4** *τῇ μητρὶ αὐτῆς καὶ παντὶ τῷ πλούτῳ αὐτῶν* γ: *μητρὶ καὶ πλούτῳ* K **4–5** *αὐτὸν τῷ* scripsi: *αὐτῷ τῷ* K: *αὐτῷ* γ | *ὅρκῳ* scripsi: *ὅρον* Kγ **5–6** *τὰ διατεταγμένα* γ: *τοῖς διατεταγμένοις* K **7** post *λέγειν* add. *ἤγουν τὸ διατάττεσθαι* K | post *προσκαλεσ.* add. *ἅμα* γ **9** *ἀσπάζεσθαι* K: *ἀσπαζόμενος* γ **11** *προσφιλ. ἦν* K: *ποθητὸς τυγχάνων* γ **12** *τῷ Ἀλ.* γ: *αὐτῷ* K | *ἐξ αὐτοῦ* γ: *ἐξ αὐτὸν* K **13** *ᾆσμα τὸν* K: *ᾀσμάτων* γ **14** *σὺν αὐτῷ* post *γῆ* γ **14–15** *σχεδὸν – ἀνεκρούοντο* om. γ

δὲ πρὸς τὸν Βουκέφαλον ἀντιστρέφοντος ἵππον καὶ γοερῶς ἐπιφθεγξαμένου ὅτι·

Καὶ σὺ δυστυχής, †δίκαιον εἶναι† ἄλλον ὡς
ἀπώλεσας Πήγασος Βελλεροφόντα,
κρείττων γὰρ γεγονὼς Πηγάσου ἐν τοῖς ἵπποις,
καὶ κρείσσων Ἀλέξανδρος Βελλεροφόντου.
οἴμοι, τίνα δέξοιο ⟨ὡς⟩ ἀνταναβάτην;
ποῖος ὅμως ἐκεῖνος ὅς βλέψοι τάδε,
Βουκέφαλον ἔχοντα ἄλλον ἱππέα.

ταῦτα δὲ Χαρμίδης μετ' ὀδυρμῶν ἔλεγε, καὶ ὁ ὄχλος τῷ θρήνῳ κατεκόπτετο. καὶ Ἀλέξανδρος τὸν παῖδα ἀπολῦσαι οὐκ ἤθελεν, ἀλλ' αὐτοῦ ἐπέκειτο τῷ τραχήλῳ.

(3) Καὶ ἦν ἰδεῖν πάντα θρήνοις μεστά. ἐπένθουν Μακεδόνες, ὠλοφύροντο Πέρσαι, καὶ Ἀλέξανδρος μέλλων ἐκπνέειν τόνδε ἔλεξε πάντων ὕστατον λόγον·

Ὅς τὴν ἅπασαν οἰκουμένην διῆλθον,
ἀοίκητόν τε καὶ σκοτεινώδη γαῖαν,

---

1 πρὸς K: τοῦ παιδὸς πρὸς γ | ἀντιστρέφοντος K: ἀντιστραφέντος γ 2 ὅτι K: ὡς γ 3 σὺ γ: σύ μοι K | δίκαιον K: δοκέω R: om. C 4 Πήγασος γ: om. K 5 post lacunam nunc incip. verbis ἵππε καὶ σὺ κρείττων γὰρ γεγονὼς QH 7 τίνα δέξοιο ὡς scripsi: τίνα δέξει QH: τεῖνον δεξιᾶς ἐστι τὸν R: τοιάδε ὦσο K | ἀνταναβάτην QH: ἀναβάτην Kγ 8 ὅμως Kγ: ὀφθαλμὸς QH | ἐκεῖνος ὅς (ὅς om. K) βλ. τάδε QHK: alia γ 9 Βουκέφαλον Kγ: Βουκέφαλε QH 12 αὐτοῦ ἐπέκειτο QH: ἦν αὐτοῦ (αὐτῷ K) ἐπικείμενος Kγ 13–14 καὶ ἦν – Πέρσαι om. γ 13 θρήνοις μεστά QH: om. K 15 ἔλεξε Q: ἤλεγξεν H: ἔλεγεν K: ἔφη γ 17 σκοτεινώδη bene coni. C: σκοτειναῖαν QHK

φυγεῖν δ' οὐκ ἐξίσχυσα τὴν εἱμαρμένην·
κύλιξ δὲ πικρὰ τῷ θανάτῳ προδίδει,
νέκυσι προπέμψασα φαρμάκου μίξει.
βλέπων δὲ στρατὸς θανεῖν βιαζόμενον
βοηθῆσαι θέλοντες ἀδυνατοῦσιν.
λοιπὸν ἐν Ἅδῃ κείσομαι τεθαμμένος.

Ταῦτα εἰπὼν παρεκάλεσε πάντας ἐν τῇ κατ' Αἴγυπτον ταφῆναι Ἀλεξανδρείᾳ, καὶ ὑπὸ πάντων τῷ τάφῳ παραπεμφθῆναι, μετὰ δὲ τὸ ταφῆναι αὐτὸν ἕκαστος γὰρ τῇ ἀφορισθείσῃ αὐτῷ ἀπελθεῖν βασιλείᾳ. παρακαλέσας πάντας καὶ ἐπορκισάμενος μηδὲν τῶν διατεταγμένων ἀθετῆσαι, ὡς τοῖς Μακεδόσιν ἦν περισκοπῶν καὶ πονῶν τὴν ψυχὴν περὶ αὐτῶν, ἐπὶ τῷ Χαρμίδους ἐπικείμενος τραχήλῳ, τῷ Βουκεφάλῳ πρὸς τοῖς ποσὶν αὐτοῦ ἱσταμένῳ ἐφαπλοῖ τὴν χεῖρα καί φησιν· Ὡς καὶ σὺ τῇ ἐμῇ τύχῃ ἧς γεγενημένος, σὺν ἐμοὶ καὶ σὺ δυστυχήσεις. ἐν γὰρ τοῖς πολέμοις εἶχόν σε συναγωνιζόμενον, τανῦν δὲ ἐν τῷδε τῷ θανατηφόρῳ οὐ συναγωνίζῃ πολέμῳ. δοκεῖ δέ μοι ὡς θέλων βοηθῆσαι οὐ δύνασαι. ταῦτα Ἀλεξάνδρου πρὸς τὸν Βουκέφαλον σὺν

---

1 ἐξίσχυσα KC: ἴσχυσα QHR 2 δὲ QHKγ: an με? | πικρὰ H: μικρὰ Kγ: μικρῷ Q 3 νέκυσι Müller: νεκάσι γ: ἕνεκά σου Q(H): εἰς ᾅδην K | προπέμψασα QH: προπέμπουσα Kγ 4 θανεῖν γ: om. QH: τοίνυν K 7–14 verba παρεκάλεσε – ἐφαπλοῖ τὴν χεῖρα desunt in Q 7 παρεκάλεσε Kγ: παρεκέλευσε H 7–10 ἐν τῇ κατ' Αἴγ. – ἐπορκισάμενος om. H 8 καὶ ὑπὸ γ: ὑπὸ K 9 γὰρ K: om. γ 10 post βασιλείᾳ add. ἄρχειν λοιπὸν K: om. γ | μηδὲν H: μηδένα Kγ 12 περὶ αὐτῶν Kγ: περὶ αὐτοὺς H | τῷ K(γ): τῷ τοῦ H 15 σὺν ἐμοὶ scripsi: ἵν' ἐμοὶ QH: ἵνα δι' ἐμοῦ Kγ | δυστυχήσεις Kγ: -σειας Q: εἰς δυστυχίας H 16 εἶχα Q 17 δέ μοι Kγ: μοι δὲ QH 17–p. 177,5 verba Βουκέφαλον – Βουκέφαλος desunt in Q folii vitiati causa

δάκρυσι λέγοντος ὁ σύμπας ἠλάλαξε στρατός, ὥστε μεγίστην γεγονέναι βοήν.

(4) Ὁ δὲ τὸ φάρμακον σκευάσας δόλιος δοῦλος καὶ τὴν τῶν πάντων ἐπιβουλευσάμενος ζωήν, δόξας Ἀλέξανδρον τελευτῆσαι δρομαῖος ἐπέρχεται θεάσασθαι. ὁ δὲ Βουκέφαλος τοῦτον ἰδὼν τὸ κατηφὲς καὶ στυγνὸν ἀπορρίψας τὴν τοῦ δεσπότου ἐκδίκησιν ἐποιήσατο. καὶ μέσον πάντων ἐπιδραμὼν καὶ τὸν οἰκέτην δραξάμενος καὶ ἄντικρυς Ἀλεξάνδρου τοῦτον ἀγαγών, μεταρσίῳ δὲ εἰς ὕψος πηδήματι ἀρθείς, παραχρῆμα δὲ ἑαυτὸν σὺν τῷ δούλῳ προσρίψας τῇ γῇ, ὁ μὲν δοῦλος διεσκορπίσθη ὡς ἄν τις εἴποι χίονα νότιον ἀπὸ ὑψηλοῦ καταπεσοῦσαν στέγους, ὁ δὲ ἵππος ἐγερθεὶς καὶ χρεμετίσας μικρὸν εὐθέως πεσὼν ἐξέψυξεν, ὥστε Ἀλέξανδρον ἐπὶ τούτῳ μειδιᾶσαι καὶ σὺν τῷ μειδιάματι τὴν ψυχὴν ἀποδοῦναι.

(5) Θαῦμα δὲ εἴδομεν †πρα† ἀπὸ γῆς εἰς οὐρανὸν ἀνερχόμενον ὑπ' ἀετῶν δύο. ἐκ τούτου διεγνώκαμεν Ἀλέξανδρον τεθνηκέναι. τοῦ γὰρ μειδιάματος καὶ θανὼν εἶχε τὴν ἐμφέρειαν ἐν τοῖς προσώποις, ὥστε πάντας ἔτι ζῆν νομίζειν. ὡς θαυμαστὸς

---

1 ἠλάλαξε H: ἀνῴμωξεν Kγ 3 ὁ ante τὴν γ: post πάντων K: om. H 5 δρ. ἐπέρχεται Kγ: ἀπέρχεται δρ. H | θεάσασθαι H: θεασάμενος Kγ 6 ἀπορρίψας QH: ἀπορριψάμενος Kγ 10 post σὺν τῷ denuo lacuna in Q usque ad ἐξέψυξεν | προσρίψας H: προσρήξας Kγ 11 χίονα νότιον H: χίονα K: χίων νότιος γ: fortasse χίονα νοτίου πνεύσαντος | ἀπὸ Kγ: ὑπὸ H 14 μειδιάματι QH: μειδιάσματι Kγ

ε 46,5 om. γ 15 δὲ QH: om. K 15–17 πρα – τεθνηκέναι om. K 15 πρα Q: πρίωνα H: φωστῆρα possis vel πρᾶγμα 16 διεγνώκαμεν Q: δὲ ἔγνωμεν H 17 μειδιάματος QH: μειδιάσματος K | καὶ θανὼν K: om. QH 18 τοῖς προσώποις QK: τῷ προσώπῳ H | post πάντας denuo lacuna in Q usque ad Ἀλεξανδρείᾳ | ἔτι ζῆν νομίζειν K: νομίζειν ὅτι ζῇ H

ἐν τοῖς ζῶσιν ἦν, θαυμαστότερος καὶ ἐν τοῖς τεθνεῶσιν ἐνδέδεικται.

(6) Λαβόμενοι δὲ πάντες ὁμοῦ οἵ τε τῶν Περσῶν καὶ Μακεδόνων ἔξαρχοι τὸ τοῦ Ἀλεξάνδρου σῶμα ἤγαγον ἐν τῇ κατ' Αἴγυπτον Ἀλεξανδρείᾳ. καὶ ἐκεῖσε αὐτὸν θάπτουσιν ἐν τῷ ὑπ' αὐτοῦ οἰκοδομηθέντι ἄστει, στήλην αὐτοῦ ἐκ λίθου φεγγίτου ἀναστήσαντες, ἀφομοιώσαντες αὐτῇ τὸν ἐν καιρῷ τοῦ θανάτου γέλωτα καὶ Χαρμίδην τῇ χειρὶ αὐτοῦ ἐπικείμενον, ὥστε τοσοῦτον αὐτῷ τὸ ὁμοίωμα, ὡς ἐκεῖνο αὐτὸν εἶναι Ἀλέξανδρον θρήνους ἐπίδειξιν ἔχοντα. θάψαντες δὲ αὐτὸν διῆλθεν ἕκαστος εἰς τὴν ἰδίαν χώραν, καθὼς διετάξατο τοῖς πᾶσιν ἔτι ζῶν

ΑΛΕΞΑΝΔΡΟΣ.

---

1 ἐν H: καὶ K | ἦν H: om. K 1–2 ἐν τοῖς τεθν. ἐνδέδεικται H: τελευτήσας ἐνδείκνυτο K | sequentia denuo in γ 4 τὸ γ: τὸ δὲ K: τὸ post Ἀλεξάνδρου H 6 στήλην QH: στῦλον Kγ 7 αὐτῇ QH: αὐτῷ Kγ | ἐν QH: ἐν τῷ Kγ 8 τῇ Kγ: ἐν τῇ QH | αὐτοῦ QH: om. Kγ 8–9 τοσοῦτον QH: τοσοῦτον ἦν Kγ 9 ἐκεῖνο corr.: ἐκεῖνον omnes | voce Ἀλέξανδρον finit Q, fortasse folium excidit 9–10 θρήνους καὶ δέους ἐπίδειξιν Kγ: θρηνοεπίδειξιν H 10 post ἔχοντα ad rec. β redit γ | διῆλθεν K: -θον H

INDEX NOMINUM PROPRIORUM

Asterisco notavi nomina coniectura restituta

Berve II = H. Berve, Das Alexanderreich auf prosopographischer Grundlage. Band II, Prosopographie. München 1926.

INDEX VERBORUM NOTABILIUM

Asterico notantur quae non inveniunter apud lexicographos Liddell-Scott-Jones-Barber et Lampe.


PA 3404 .A36 1974
Alexander the Great (Roma
Anonymi Byzantini Vita Alexand
010101 000
0 1163 0149548 1
TRENT UNIVERSITY

1355